LIVRARIA
A. FERIN
70 74 R. Nova
do
ALMADA
LISBOA
Succ.es FERIN & Cª

H-2-4
903

Inc.
1029

4
H 2 1/14

Bartholomaeus Iuſtinopolitanus Petro
Contareno patritio ueneto·S·

Cum omnium atq; adeo quotidianis querelis rei litterariae calamitas deploretur, quae librariorum impreſſorumque incuria in dies diffunditur latius, incredibile dictu, nec minus foedum, nullos tam diu bonarum artium cultores extitiſſe, qui ſacratiſſimum literarum numen uelut a profanis aſſererent, myſteriumq; hoc (ut ita dicam) imprimendorum librorum ſi non ſtudiorum antiſtites, at initiati uel cum ſordium ſuſpitione ſuſciperent· hoc uero tempore non deſunt, q hoc uere publicum negotium priuato otio libentiſſime praeferant, hoc maxime freti, quod inuidorum impetus, quos non defuturos iamnunc ſatis perſpectum eſt, te patrono facile ſuſtinere poſſe confidant· ſuſcipe per deos uir clariſſime iacentium litterarum clientelam te dignam, quarum ſtudia ita colis ut excelleas, prodeant aliquando tuis auſpiciis optimi quiq; auctores, non (ut antea) ſordidati· debebũt tibi eorum manes· debebunt et ſtudioſiſſimi adoleſcentes, ad quos quicquid commodi hac litterarum induſtria peruenerit, id totum tibi acceptum referendum non diſſimulabunt· haec interim tibi gratia referetur, exigua ea quidem, ſed, quae eſt animi tui magnitudo, non contemnenda· laudarem de more phalaridis acumen, ac dicendi grauitatem principe dignam· Apollonii ſanctitatem pythagorae ipſi non improbandam· breuitatem bruti, cuius cicerone teſte magiſter extitit, ni haec notiora ſcirem, q̃ut teſtimonio noſtro confirmentur· illud uero non diſſimulan-

dum putaui, non deesse, qui quae phalaridis feruntur, eas a luciano scriptas suspicentur. has tantum uerbum uerbo latinas reddemus. disiunctisq́ uoluminibus ita collocabimus, ut pagina paginae, et uersus uersui fidelissime respondeant. cui adminiculo studiorum uelut infantia innitatur, et in caeteris, quas intactas hoc consilio reliquimus, profectus uires experiri possit.
Vale

Inc. 1029
BIBLIOTHECA NACIONAL DE LISBOA

# ΦΑΛΑΡΙΔΟΣ ἘΠΙΣΤΟΛΑῚ ΤΥΡΑΝΝΟΥ ἈΚΡΑΓΑΝΤΊΝΩΝ.

## ΦΑΛΑΡΙΣ ἈΛΚΙΒΟΏ. i.

π ΟΛΥΚλειτος ὁ μεσσήνιος, οὗ κατηγορεῖς παρὰ τοῖς πολίταις προδοσίαν, ἰάσατό με νόσον ἀνήκεστον. οὐκ ἀγνοῶ δέ, λύπας ἀπειλιζόμενός σοι τὰ δάκρυα. σὲ δέ, οὐκ ἂν οὐδ' ἂν υἱὸς ὁ τῆς τέχνης ἡγεμὼν ἀσκληπιός, μετὰ πάντων ἰάσαιτο τῶν θεῶν. σώματος μὲν γὰρ ἀρρωστίαν, θεραπεύει τέχνη. ψυχῆς δὲ νόσον, ἰατρὸς ἰᾶται θάνατος. ὃν ἂν ἐπαχθέστατον αὐτῇ πολλῶν καὶ μεγάλων ἀδικημάτων, οὐκ ἀκουσίων, ὧν ἐμοὶ περιτρέπεις, ἀλλ' ἑκουσίων, ὧν αὐτὸς εἴργασαι, προσδέχου.

animi morbum sanat mors.

## Μεγαρεῦσιν. ii

ὀ Υ μέμφομαι τὴν ἀχαριστίαν ὑμῶν πολλάκις εὐεργετημένων, ὅτι μου κρινομένου περὶ τῶν ὅρων πρὸς τοὺς ἀστυγείτονας, κατεψευδομαρτυρήκατε. κατηγορῶ δ' ἐμαυτοῦ τῆς ἀναλγησίας, ὅτι προπηλακιζόμενος ὑπὸ τῶν αὐτῶν πολλάκις, οὐ σωφρονίζομαι. ὑμεῖς μὲν γάρ, οὐδέποτε χάριτος ἐμοὶ μνημονεύετε. ἐγὼ δ' ὡς μηδέποτε ἐπιλελησμένοις χαρίζομαι.

## Τυρσηνῷ. iii

ἐ Ι τοὺς μετὰ ἀνάγκης τι πράξαντας τῶν μὴ νομίμων, χαλεπὰς ἔχειν δεῖ περὶ τοῦ μέλλοντος βίου προσδοκίας, ὡς ὑπέφαινες αἰγεσταίοις, εἰς τὴν τοῦ δαιμονίου πρόνοιαν ἀναφέρων τὰ περὶ ἐμοῦ, τίνας ἐχρῆν ἐλπίδας ἔχειν σὲ περὶ σεαυτοῦ, τὸν μὴ μετὰ ἀνάγκης, μηδὲν ὧν παρανενόμηκας, μετὰ γνώμης δὲ πάντα ἠσεβηκότα.

## λυκίνῳ. iiii

ὀ Υκ ὀρθῶς ἠρώτησας ἐν λεοντίνοις, ὡς παρόντα με καὶ δυνάμενον ἀποκρίνεσθαί σοι, τίς εἰμι, καὶ τίνων, καὶ πόθεν. ἐγὼ γὰρ ὥσπερ ἐμαυτὸν οἶδα φάλαριν, λεωδάμαντος υἱόν, ἀστυ-

genus · patre
& patria pba
Laudis

παλαιὰ τὸ γένος, πατρίδος ἀπεστερημένον, τύραννον ἀκραγαντί-
νων, ἔμπειρον πολλῶν, ἀπιστῶτα μέχρι τοῦ παρόντος, οὗτος οἶδα
καὶ λυπηρὸν, πόρνον μὲν, ἐν παισί. λάγνον δὲ, ἐν νέοις. μοιχὸν δὲ, ἐν
γυναιξίν. ἀκόλαστον δὲ ἐν νόμοις. ἀσελγῆ δὲ, ἐν ἡδοναῖς. ἀργὸν
δὲ ἐν εἰρήνῃ. λιποτάκτην δὲ ἐν πολέμοις. δώσουσι τάχα μοι καὶ τῶν
δημηγοριῶν, καὶ τούτων ὧν ἐλέγχουσι δίκην, ἂν μὴ θᾶττον ἁλῷς.
ἀλλ' οὖν ὅταν ἐκδοτόν σε παραδῶσι λεοντῖνοι, βουλόμενοι τοῦ πρὸς
ἡμᾶς ἀπαλλαγῆναι πολέμου. Λεοντίνοις. v.

Εἰ καταλῦσαί με τὸν πρὸς ὑμᾶς ὀρέγεσθε πόλεμον, μηδὲν
αἰδεσθέντες, ἐκδότε μοι λυκῖνον. ἵνα τὴν ὀργὴν ἅπασαν
εἰς τοῦτον ἀφεὶς, παύσωμαι τοῦ πρὸς τὴν πόλιν θυμοῦ. χρήσο-
μαι δὲ οὐδὲν αὐτῷ χαλεπώτερον, ἢ πάντας ὑμᾶς ἐπίσταμαι βου-
λομένους. Ζαξίππῳ. vi.

Τῷ μὲν υἱῷ σου διὰ τὴν νεότητα συγγινώσκω. σοὶ δὲ, διὰ τὸ
γῆρας, καίπερ ἀσύγγνωστα πεποιηκόσιν, ἂν μέντοι μὴ
παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σε τὸ γῆρας
ἐξαιρήσεται. δι' αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι' ἃ
νῦν συγγνώμης ἀξιοῦσθε. Εὐλώῳ. vii.

Γνώμης γενόμενος τοπρὶν, ἁλόντα αἰχμάλωτον ἀπο-
κτεῖναι σου τὸν υἱὸν, ἀνθ' ὧν ἠδίκηκέ μου τοὺς ναυάρ-
χους, μετέγνων ὕστερον καὶ σέσωκα. μᾶλλον γὰρ βούλομαι διὰ τῆς ἐκείνου
ζωῆς σε λυπεῖν. ἢ διὰ τῆς ἀναιρέσεως τοῦ ἀποθανόντος. Σαμέα. viii

Εἰδώς σου τὴν χρηστότητα τοῦ τρόπου, καὶ τὴν ὑπερφυῆ πρὸς ἅπαν-
τας φιλανθρωπίαν, καὶ ὅτι τὰς τῶν πλησίον ἀτυχίας, ἡ-
μέρως καὶ συμπαθῶς ἰδίας ἀλγηδόνας καὶ συμφορὰς ἡγῇ, γέγραφά σοι
συντόμως, ὅτι καὶ τὴν δίκην, καὶ τὴν ναυμαχίαν, καὶ τὴν παράταξιν, καὶ τὸ τε-
λευταῖον τὸν ἱππικὸν ἀγῶνα νενικήκαμεν. ἵνα ἀκούσας τοὺς προ-
σήκει καλῶν κἀγαθῶν, στένῃς ἀδιαλείπτως, λαμβάνων παρὰ τῆς
σεαυτοῦ φύσεως, ἀξίας καὶ πρεπούσης τοσαύτῃ κακοηθείᾳ βασάνους.

π Ἄνυ μοι δοκεῖ μετὰ τέλως ἄξιον εἶναι θαυμάζειν, τὸ σω φροντίζεσθαί τινα ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾶν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας. οὐδὲ ταῖς τῶν ὑπὸ σοῦ νενουθετημένων κακίαις ἔνοχος ὢν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὗ τῷ νουθετεῖς.

Λακείτῳ. x

ἀ χθομένῳ σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. κἀγὼ γὰρ δὲ σφόδρα συμπαθῶν, ὡς εἰς τῶν οἰκείων τὸ συμβεβηκὸς ἠγγιγμένος, μεῖζον ἄχθομαι, καίτοι στερροτέρᾳ φύσει πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾶν, μηδὲ τοῖς ἀμέτρως ἀνιωμένοις. παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ' αὐτῷ συμφορᾶς, πρῶτον μέν, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος, ἐν πολέμῳ σὺν ἀριστείᾳ τέθνηκεν. εἶθ' ὅτι νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται. τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ἐπεσφράγισται τὴν ἰδίαν ἀρετὴν, θανάτῳ. ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθός, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον οὐχ αἱ γνῶμαι κρατοῦσιν. ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. νομίσας οὖν ἀξίας παρ' αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως, καὶ ἀνατροφῆς, τὸ καλὸν αὐτὸν καὶ ἀγαθὸν μέχρι τέλους γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πρᾴως, καὶ ὡς παρηγορήτως τὴν ἐπ' αὐτῷ λύπην ἐνεγκεῖν.

Μεγακλεῖ. xi

κ Αἰ τοὺς ἵππους ἐκπεπόμφαμέν σοι κεκοσμημένους ἐπὶ τὸν ἀγῶνα, καὶ τὰ χρήματα δοῦναι Τεύκρῳ προστέταχα. κἂν ἄλλου του δέῃ, μὴ κατόκνει γράφειν. οὐδὲν γὰρ οὕτως ἔσται μέγα τῶν αἰτημάτων, ὃ μὴ πάντως αἰτησαμένῳ χαριούμεθα.

## Ἀγλαῷ. xii

ἐ Κτεθησαύρικα μὲν τοῦ πλούτου, ὅσα παρέσχεν ὁ θεός, εἰς μεταβολὰς τῆς τύχης, οὐκ ἐν τοῖς κόλποις τῆς γῆς ὡς παρῄνεσας, ἀλλ' εἰς τοὺς βουληθέντας τῶν φίλων τὰς δωρεὰς λαμβάνειν. σὺ μὲν οὐδεῒς τοῦτο πρόθυμον ἡμῖν σαυτὸν ἐχαρίσω, τοῦ κατά σε ὑμᾶς τοὺς φίλους καὶ ἀποσφαλῶμεν τῆς ἀρχῆς, ἔχεσθαι τῶν ἐλπίδων. οὐ μὴν ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γε λαβὼν ὡς παρακαταθήκην ἐμοὶ φυλαχθησομένην, φίλου τι ποίησον ἔργον. πιστὸν γὰρ οὐδὲν ἡγησόμεθα γῆς μέρος, παρελθόντες ὡς κόνεως ἀπιστοτέρους, τοὺς ἐξ ὑμῶν τῶν ἑταίρων κρατίστους. ὧν ἀτυχούντων, καὶ αὐτὸς ἑτέρῳ συμπλακῶ δαίμονι, καθεὶς οὐδὲν ἧττον ἀτυχεῖν δόξω.

## Εὐμήλῳ. xiii

ὄ ϒτε δοκοῦντος, οὔτε ὄντος ἀδίκου, τὸν κατάρξαντα πλημμελεῖν ἀμύνεσθαι, τοῦ πρώτου γεγονότος ὑπὸ σοῦ, τὸ δεύτερον ἀφ' ἡμῶν ἔσεσθαι προσδέχου.

## Ἡροδίκῳ. xiiii

ἄ λλου μὲν ἦν καλῶς πεπονθότος, μηδὲν ὁμολογῆσαι πρὸς τὸν δεδρακότα περὶ ἀμοιβῆς· ἴσως ἥκιστα πρὸς αὐτὸν ὕποπτος ἁλώῃ. ἐγὼ δέ, τοῦτο μὲν ἀγεννοῦς ἀνδρὸς ἔργον ἡγοῦμαι, τὸ τὸν ἀγνοοῦντα χειρώσασθαι. προηδικημένος δ' ὑπὸ σοῦ, μηνύω σοι φυλάττεσθαι τὴν ἐπιοῦσαν ἐξ ἡμῶν ἄμυναν. ἵνα πρὸ τοῦ μὲν παθεῖν, ἡ προσδοκία κολάζῃ σε· μετὰ δὲ τὴν προσδοκίαν, αὐτὸ τὸ παθεῖν.

## Ταύρῳ. xv

τ αυρομένει τοῖς τὰ λύτρα τῶν αἰχμαλώτων ἅπερ ἔλαβον ἀποδοὺς, μὴ ποιούμενος ἐπὶ τὴν χάριν, ἀλλὰ Στησιχόρου· ζῇ γὰρ ἐκεῖνος, εἰς τὴν τῶν ληψομένων εὐεργεσίαν, ὁ παρ' ἐμοῦ ταύτην ᾐτημένος. τέθνηκε μέντοι ἡ περὶ τούτων αὐτῷ χάρις, εἰς ἀμνήμονας ἀνθρώπους δεδομένη.

optimus the-
saurus amic[us]

In aliam fortu-
nam cogitare v.
Innovare

alia quadam sorte

signum bonis est animi
dissimulare v. [illegible]

In memoriam [illegible]
[illegible] gratiam

[illegible] beneficium quod In
In memoria collocat

Εἰφοίτῃ. xvi

τ ὰ μὲν σά, καὶ τούτων ὧν πεπόμφαμεν τὰ μειζόνων ἀγαθῶν, ἄξια. τὰ δ' ἐμά, μὴ βούλου μαθεῖν. οὐδὲν γὰρ ἐπ' αὐτοῖς ἔχομεν σιγῆς κρεῖττον.

Ἀμφινόμῳ. xvii

ο Υ διδόναι χάριτας οἴομαι δωρούμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ' αὐτῶν λαμβάνειν. ὅθεν ἀξιῶ, μὴ ὡς προδεδωκότα με χάριν, ἀλλ' ὡς προσοφείλοντά σοι διὰ τὸ βουληθῆναι σε λαβεῖν, ἃ ἐπέμψαμεν δέχου.

Ἐρυθίᾳ. xviii

κ αὶ περὶ μὲν ἐμαυτοῦ πλείστην οἶδά σοι χάριν, καὶ περὶ τοῦ κοινοῦ παιδός, ὃν ἐπὶ σοὶ κατέλιπον ἐρυθία. περὶ μὲν ἐμαυτοῦ, ὅτι φθάσαντός μου, χηρεύειν ὑπέμεινας μᾶλλον, ἢ γήμασθαί τινι, πλείστων ἀγαγέσθαι βουλομένων. περὶ δὲ τοῦ παιδός, ὅτι σὺ ἀμφότερα, καὶ μήτηρ αὐτῷ, καὶ πατὴρ ἐγένου. οὔτ' ἄνδρα ἕτερον ἀντὶ Φαλάειδος, οὔθ' υἱὸν ἀντὶ σαυρόλα προτιμήσασα. ἀλλ' ἀντὶ μὲν ἀνδρὸς δευτέρου, τὴν ἐπὶ τῷ προτέρῳ μονὴν ἑλομένη. ἀντὶ δὲ παιδὸς ἄλλου, τὸν ὑπὸ τοῦ προτέρου σπαρέντα σώζουσα. τελείωσον οὖν ἀνδρὶ καὶ υἱῷ, τὴν ἀπὸ σεαυτῆς αὐτῷ δεδομένην χάριν, ἄχρις ἂν φρονήσας τὰ ἁρμόζοντα τοῖς χρόνοις, μήτε παιδὸς ἔτι, μήτε μητρὸς προσδέηται. λιπαρῶ δέ σε μετὰ τοσαύτης τῆς δεήσεως. οὐχ ὡς ἀπιστῶν μητρὶ περὶ τέκνου, καὶ ταῦτα τοιαύτῃ. ἀλλ' ὡς πατὴρ ὑπὲρ ἑνὸς υἱοῦ φοβούμενος. δύναιο δ' ἂν ἀπὸ τῶν ἑαυτῆς παθῶν, καὶ τὸ παρὰ πατέρων τοῖς τέκνοις ἐνθυμηθεῖσα δέος, συγγνώμης ἀξιοῦν τὸν οὕτως ἐπιστέλλοντά με.

μ Ἄλιστα μὲν ἀμφοτέρους τοὺς γονέας ὦ παῖ, στέργειν σοι
προσήκει, καὶ περὶ πλείστου ποιεῖσθαι. τοῦτο γὰρ καὶ σε-
μνὸν, καὶ ἄλλως εὐσεβὲς, ἢ ὡς μεμνῆσθαι τῶν γεγεννηκότων, καὶ τοσαῦ-
τα εὐεργετησάντων χάριτος. ἐπεί τοι πατρὸς ἀμέλησον μᾶλλον
ἢ μητρός. οὐ γὰρ ἀπὸ τῶν ἴσων καὶ ὁμοίων τὰ πατρὸς ἂν εἴη δίκαια,
πρὸς τὴν τοῦ αὔξησιν, καὶ τὰ μητρός. ἀλλ' ἡ μὲν, σὺν τῷ κυῆσαι, καὶ γεννῆσαι
καὶ τιθηνῆσαι, μυρίους ἀλλοίους ἀνέτλησε πόνους, ὁ δ' ἐκτραφέντος ὑπὸ τῆς
τεκούσης, καὶ τελειωθέντος, ἀπολαύσεως μετέχειν ἀξιοῖ, δυσκό-
λου πειραθεὶς οὐδενός. ἰδιαίτερον δὲ τῶν ἄλλων ἡ σὴ μήτηρ διὰ
τὰς ἐμὰς φυγὰς, περὶ τῆς σῆς κεκοπίακε τελειώσεως, τὰς ὑ-
πὲρ ἀμφοῖν μόνη φροντίδας ὑποστᾶσα. ὥστε καὶ σὺ τὰς εἰς
ἑκατέρους τοὺς γονέας εὐχαριστίας, μιᾷ μητρὶ τῇ πάντα πονη-
σάσῃ, ἀπόδος. πεπληρώσεται γάρ σοι, καὶ τὰ πρὸς τὸν πατέρα
δίκαια, διὰ τῶν εἰς τὴν μητέρα φιλανθρωπιῶν. οὐδὲν γὰρ ἀπαι-
τήσω πλεῖον εἰς ἐμαυτὸν, ὧν ἂν εἰς ταύτην εὐσεβήσῃς. μᾶλ-
λον δὲ καὶ προσειληφέναι παρὰ σοῦ πολὺ μέρος εὐεργεσίας ὁ-
μολογήσω. πρέπει γάρ σοι μητρὶ χάριν περὶ πολλῶν ἀποδιδόν-
τι, μεγάλης εὐεργεσίας ἀρχὴν ἡγήσασθαι πρὸς πατέρα.

## Τοῦ αὐτοῦ. xx

τ Ἃ μὲν παρὰ πατρὸς εἰς υἱὸν ἔσχηκας δίκαια παυρόλα.
τὰ δ' ἐκ σοῦ πατρὶ δυνάμενος, οὐκ ἀντιπαρέχων, ἁμαρ-
τάνεις. πυνθάνομαι γάρ σε παιδείας, ὃ πολλάκις ἐμεμψά-
μην, οὐκ ἐπιμελεῖσθαι. ἄλλην δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν.
παρὰ σοῦ, ταύτης ὑστερήσας. ἴσθι δὲ, ὅτι καὶ τὸ παιδείας συμ-
φέρον ἐὰν χαρίσασθαι βουληθῇς, οὐχ ὁ ληψόμενος τὴν χάριν
ἀλλ' ὁ δώσων μᾶλλον καθέξει.

## Μεσσηνίοις. xxi

π Ολύκλειτον ὡς πυνθάνομαι τὸν ἰατρὸν ὑμῶν μέμφεσθε, ὡς προδότην ἀκραγαντίνων γεγονότα, ὅτι με κάμνοντα λαβὼν, δυνάμενος ἀποκτεῖναι, χαλεπῆς ἐξήρπασε νόσου. καὶ τὸν ἔπαινον αὐτοῦ τῆς δικαιοσύνης, κατηγορίαν ἀδικίας ποιεῖσθε. καὶ τοῦθ᾽ ὁμολογοῦντες, οὐκ αἰσχύνεσθε. ἐγὼ δὲ θαυμάζω τῆς τέχνης αὐτοῦ τὸν τρόπον, ὅτι καὶ θνήσκοντά με πιστευθεὶς, οὐχ ὡς τύραννον ἀνῄρηκεν. ἀλλ᾽ ὡς νοσοῦντα πονήσας σέσωκεν. καὶ διὰ μὲν τὴν ὑμετέραν μέμψιν, οὐδ᾽ ὁτιοῦν πέπονθε κακόν. διὰ δὲ τὴν ἐμὴν εὐχαριστίαν, ὁμοίως τοῖς πρώτοις σικελιωτῶν πεπλούτηκεν. οἶδα γοῦν, ὅτι διὰ τὴν δόσιν τῶν εὐχαριστηρίων πάντες εὔχεσθε προδόται μᾶλλον ἀκραγαντίνων, ἢ τυραννοκτόνοι Φαλάριδος ἀκουσθῆναι.

*Polycletus medicus quod tyran[illegible] prima*

## Πυθαγόρᾳ xxii

κ Φαλάριδος τυραννὶς, τῆς πυθαγόρου φιλοσοφίας πλεῖστον ὅσον δοκεῖ κεχωρίσθαι. κωλύει δὲ ὅμως οὐδὲν, καὶ τούτων οὕτως ἐχόντων, συγγενομένους ἡμᾶς, τὴν ἀξενῆ διάπειραν ἀλλήλων λαβεῖν. δύναιτο γὰρ ἂν καὶ τὰ πόρρωθεν διεστῶτα, συναγαγεῖν εἰς ταυτὸν ὁμιλία. ἐγὼ μὲν οὖν, ἀκούων τὰ περὶ σοῦ πυνθανόμενος, ἄριστον ἄνδρα πεπείσμαί σε εἶναι. σὺ δὲ περὶ ἐμοῦ μὴ κρῖνε φαύλως. γὰρ ἐμὲ δόξα λυπεῖ οὐ μὴν, ἀλλ᾽ ἐμοὶ μὲν, οὐκ ἔστ᾽ ἀσφαλὲς ἀφικέσθαι πρὸς σὲ, δι᾽ ἣν κατηγοροῦμαι τυραννίδα ἄνευ μὲν γὰρ ὅπλων, καὶ δορυφόρων ἐρχόμενος, εὐεπιχείρητος ἔσομαι μεθ᾽ ὅπλων δὲ καὶ φρουρᾶς, ὕποπτος. σοὶ δὲ πᾶσα ἀσφάλεια, κινδύνων ἀπηλλαγμένῳ, καὶ παραγενέσθαι πρός με, καὶ μεθ᾽ ἡσυχίας συμβιῶναι. λαμβάνων δέ μου διάπειραν, ἐὰν μὲν ὡς τύραννον ἐξετάζῃς, ἰδιώτην εὑρήσεις με μᾶλλον, ἢ τύραννον. ἐὰν δὲ ὡς ἰδιώτην

*πλεῖστον ὅσον. multa quae sunt*

*ubi mei periculum feceris*

ἔχοντά τι διὰ τὴν ἀνάγκην καὶ τυραννεῖ. κρατεῖν γὰρ οὐχ οἷόν τε τοιαύτης ἀρχῆς, ὁμολογοῦντι μὴ χρώμενον. οὐ γὰρ ἔστιν ἐν τυραννίδι χρηστότητος ἀκίνδυνον, διά τε τἄλλα, καὶ διὰ τοῦτό σοι πολλῷ συγγνώσεσθαι. πείσομαι γάρ σοι τὴν ἡμερωτέραν ὁδὸν προελθεῖν, ἐὰν τὸ πιστὸν εἰς σωτηρίαν τῷ πεισθησομένῳ, μετὰ τοῦ πυθαγόρου λόγου, ἡ ἀλήθεια προσβεβαιώσῃ.

Θώρανι. xxiii

π Ότερον ἐμαυτὸν ὡς ἀσαφῶς γράφοντα μέμψομαι, ἤ σε ὡς ἑκουσίως μαθεῖν μὴ βουλόμενον αἰτιάσομαι, ἀγνοῶ. δύο γάρ σοι μυριάδες ἐκ λογισμῶν λελοίπασιν, εἰ σαφέστερον ἐπιζητεῖς διδαχθῆναι. τοὺς οὖν ἄλλωστε πώποτε διδάξοντας, ἢ σὺ μαθεῖν ἂν ἠθέλησας, ἐντεῦθεν παρ' ἡμῶν προσδέχου.

Ἀειφράδῃ. xxiiii

α Υθάδεια καὶ νεότητος ἀβουλία, πολλοὺς ἀνθρώπων ἀπώλεσεν. οἷς ἀμφοτέροις πάθεσιν, ἴσθι σου τὸν υἱὸν κεχρημένον. ἀδικούμενος δὲ ὑπ' αὐτοῦ, δι' ἃς προσφέρηκα μὲν μανίας, τὴν ἄμυναν ἐπέσχηκα, σοὶ βουλόμενος οὐκ ἐκείνῳ χαρίζεσθαι. μαρτυρεῖ γὰρ ὑπὸ πολλῶν, ἀεί σην ἐπιείκειαν ἔχειν. διόπερ οὐκ ἐδοκίμαζον δι' υἱοῦ πονηρίαν, λυπεῖν γῆρας πατρὸς, οὐδὲν ἀδικοῦντος. ἕνα γὰρ ἔχων υἱὸν τοῦτον, εἰ καὶ πάντως φαῦλός ἐστι, δι' ἐρημίαν ἄλλου διαδόχου στέργεις. κακίαν γὰρ υἱοῦ, πατρὸς εὔνοια νικᾷ. ἂν μέντοι μὴ παύσηται πλεονάζων, ἀπειθῇ δὲ καὶ τοῖς σοῖς παραγγέλμασιν, ἢ τοῖς ἐμοῖς λόγοις, μὴ ἀγνοήσῃς ὅτι καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ σοῦ, λήψομαι τὰς προσηκούσας παρ' αὐτοῦ δίκας. ἵνα δὲ ὅταν ἐν αὐτῷ γίνηται τῷ κακῷ, διατείνων ἐν οἷς ἐστι, μὴ προσποιηθῇ δοκεῖν ἠγνοηκέναι τὰ ὑπὲρ τούτου γεγραμμένα πρὸς σέ, καὶ πρὸς αὐτὸν ἐκεῖνον περὶ τοῦ αὐτοῦ ἐπέσταλκα.

Ἀντιμάχῳ. xxv

ε Ἰ μὲν ἔχων οὐκ ἀποδίδως τὸ δάνειον, ἑκὼν εἶ πονηρός.

εἰδυῖη ἔχων, ἀδικεῖς μὲν· τὸ δὲ ἀκούσιον παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἡ δὲ συγγνώμη γίνωσκε, ὅτι μέλλησις ἐστὶν ἀπολήψεως, οὐ παντελὴς χρημάτων ἀπόγνωσις.

Ἀριστομένει. xxvi

μ Ἡ ζω ἄχθομαι περὶ τῶν τραυμάτων, ὧν τέτρωμαι κατὰ τὸν πόλεμον. τὸ μὲν γὰρ ἄνευ, καὶ συμπαθέστερον, ἀγαπῶμαι. τοσοῦτον δ᾽ ἀπέχω τοῦ βαρέως φέρειν ἐπὶ τοῖς τοιούτοις, εἰ δὲ παρ᾽ ὀλίγον ἦλθον ἐξ αὐτῶν ἀποθανεῖν, ὥστε ἀπευκτοῦ τοῦ θανάτου ὄντος πᾶσιν ἀνθρώποις, ἀξιῶ μὴν ἂν καὶ τῆς εἱμαρμένης θᾶττον, εἰ καὶ πλείονά μοι χρόνον ἐπιβέπει ζῆν, ἐν πολέμῳ τελευτῆσαι. τί γὰρ ἂν δείγμα γενναίῳ μεῖζον ἀγαθὸν, ἢ περὶ ἀρετῆς καὶ νίκης ἀγωνιζομένῳ, ἀπερείσασθαι τὸν βίον.

Ξενοπείθει. xxvii

ὀ Ὑκ ἄχθομαι ταῖς διαβολαῖς, οὔτε ταῖς δόξαις, αἷς ἔχουσιν ἐφ᾽ ἡμῖν, οἱ μὴ δικαίως κατηγοροῦντες. καὶ τοῦτο δὲ οὐδὲν ἕτερον πέπονθα, ἢ διὰ τὸ γινώσκειν, ὅτι τοῖς μὲν ἄλλοις φύσει κακοῖς, ἐμοὶ δὲ διὰ τὴν ἐκ θεῶν πλεῖον ἰσχύουσαν ἀνάγκην, τοιούτῳ γενέσθαι συνέβη. διαφέρει δὲ καθ᾽ ὅσον, ὅτι ἐγὼ μὲν τύραννος ὢν, ἐξουσίαν διὰ τὴν ἀρχὴν ἔχων, ὁμολογῶ. ὑμεῖς δὲ ἰδιῶται γεγονότες, παρ᾽ ὅσον δεδοίκατε νόμους, ὁμολογεῖν δέον, ἀρνεῖσθε.

Καταναίοις. xxviii

ἀ Χθὲς τὰς αἰχμαλώτους τῶν ὑμετέρων πολιτῶν τινὰς, οὐδεμίαν ἔχοντας ἐλπίδα σωθῆναι, διὰ τὸ μὴ σφόδρα ὑμῖν αὐτῶν ἀναιρεθέντων μέλειν, σέσωκα. οὐκ ἐπιλελησμένος τῆς πρὸς ὑμᾶς ἔχθρας. ἁπάντων γὰρ εἰμὶ ἐπιλησμονέστερος, εἰ τοῦθ᾽ ὑμῶν μικροτέραν δίκην παρ᾽ ὑμῶν λαβεῖν καταφρονῆσαι μι. ὅταν δὲ τὴν κατ᾽ ἀξίαν ὑπάρχῃ τέ μοι, τοῦθ᾽ ὑμᾶς, τὸ μέγεθος τῆς συμφορᾶς, ὧν ἐδράσατε κακῶν ἀναμνήσει.

τ Αυρομενεῖται μὲν ὑπὲρ ὧν γράφετε πρός με, ἐντολὴν ἔχειν λέγουσαι παρὰ τοῦ πατρός, ὅτε μετήλλαττε τὸν βίον, οὐδεμιᾶς ἦσαν ἐπιτήδειοι τυχεῖν ἐπιμελείας. οὐδὲν γὰρ ὑπ' ἐμοῦ πώποτε πλημμεληθέντες, οὔτε ἔλαττον, οὔτε μεῖζον, ἐξηλώκεσαν ἀδίκως τὸν κατ' ἐμοῦ πόλεμον. Στησίχορος δὲ οὐ μόνον ταύτης τῆς χάριτος ἄξιός ἐστι τυχεῖν παρ' ἐμοῦ, ἣν αἰτεῖται δι' ὑμῶν τὰ λύτρα τῶν αἰχμαλώτων αὐτοῖς, ἅπερ εἰσεπράξαμεν, ἀποδοθῆναι προστάξας, ἀλλ' εἰ καί τι τούτων ἀδυνάτων ἐστὶ μεῖζον. καὶ γὰρ εἰ τεθνάναι δοκεῖ τισιν, ὅπερ οὐδεὶς ἂν εὖ φρονῶν εἴποι, ἔμοιγε οὖν ὁ τοιοῦτος οὐ τέθνηκε. μὴ γὰρ τοσοῦτον ἰσχύσειε τὸ κατὰ Ταυρομενιτῶν μῖσος, ὥστε Στησίχορον αἰτησάμενόν τι μὴ λαβεῖν, ὧν Φάλαρις ἔχει τὴν ἐξουσίαν. πάντας μὲν γὰρ ἀνθρώπους, ὑπ' ἐκείνου πρέπει νικᾶσθαι. πρεπτότερον δὲ πάντων, ἐμὲ τὸν ἐν τοσαύταις μυριάσιν ἀνθρώπων, ὧν ἐπειράθην, ἀνδρὸς ἐπιφανεστέραν ψυχὴν οὐκ ἰδόντα. διὸ τά τε χρήματα αὐτοῖς ἀποδοῦναι προστέταχα, καὶ τὴν χάριν ταύτην οὐδὲ δεδωκέναι τῷ πατρὶ ὑμῶν μὰ τοὺς θεούς, ἀλλ' αὐτὸς παρ' ἐκείνου μᾶλλον εἰληφέναι νομίζω.

Κριτοφήμῳ. xxx

ἀ Γαθοῦ μὲν ἔργον φίλου καὶ σὺ ποιεῖς, καὶ πάντες, ὅσοι πλεῖόν τι μοι τοῦ μετρίου, ἐπεὶ ἀνδρεῖ μαρτυρεῖτε, πεπεισμένοι ταῖς ἐμαῖς βουλαῖς ἢ πράξεσιν, κεκτῆσθαι Λεοντίνους. ἐγὼ δὲ σαφῶς οἶδα τὴν ἀναγκαίαν ἄμυναν, ὑπ' ἐμοῦ πεπραγμένην. τὴν δὲ ὡς τοιαύτην νίκην, ὑπὸ τῆς τύχης κατωρθωμένην. οὐδὲν γάρ ἐστιν ὦ φίλτατε τῶν ἐν ἀνθρώποις, οὔτε μεῖζον, οὔτε ἔλαττον, ὃ μὴ ταῖς ἐκείνης ῥοπαῖς βεβαιοῦται.

Πολυδάκει. xxxi

θ Αυμάζειν διὰ τῆς ἐπιστολῆς ἔοικας, τὴν παρὰ πολύ μου μεταβολὴν τοῦ βίου. ὅτι τὸν ἄλλον χρόνον, θρασυτέρως, ἢ κατὰ

τύραννον

nulla Iniuria affecti bello ... Intulerunt

plus obtinat amicitia Stesichori quam offendit odio Tauromenitanorum

ptas ex Impetu fortunae.

τύραννον ἐμφανὴς ὤν, τανῦν οὐδὲ τοῖς ἀναγκαιοτάτοις ὁρῶμαι. ἐγὼ γὰρ ᾔδειν δ' ἑτέρου ἢ δι' ἐμὲ φυγὰς πάντας ἀνθρώπους. πίστιν γὰρ οὔτε παρ' ἄλλοις τισὶν, οὔτε ἐν φίλοις βεβαίαν εὗρον. διὸ παντὸς πολυτρόπως ἐπιγνοὺς, τὴν ἀοίκητον ἐρημίαν ἐν λιβύῃ, τοῦ μετ' ἀνθρώπων βίου, αἱρετωτέραν ὑπολαμβάνω. καὶ τὰ θηρόβατα νομάδων ἐνδιαιτήματα. μᾶλλον γὰρ ἐμπελασθεὶς λέουσιν, ἀκινδύνως συναυλισαίμην ἂν, καὶ συνανηθείην ἑρπετοῖς πᾶσιν, ἢ τοῖς νῦν οὖσιν ἀνθρώποις. τοσοῦτον ἡμῖν αἱ πολλαὶ καὶ ποικίλαι, καὶ συνεχεῖς τύχαι, ἐμπειρίας, καὶ πονηρίας μετέδωκαν.

ne fidos quidem amicos est expertus

Tutior leonum et ferarum consuetudo quam Hominum multorum

Πολυγνώτῳ. In posterum xxxii.

κ αὶ τοῦ δωρεῖσθαί τι σοι πρὸς τὸ μέλλον, καὶ τοῦ γράφειν πέπαυσμαι πολύγνωτε. πέπαυσο δὲ καὶ σὺ τῶν ὑπὲρ ἐμοῦ πρὸς πολλοὺς ἐπαίνων. τοῖς γὰρ ἔργοις μου κατηγορῶν, δι' ὧν οὐδὲν προσδέχῃ τῶν ὑπ' ἐμοῦ πεμπομένων, τοῖς λόγοις με ἐγκωμιάζεις. οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ, παρὰ τοῖς σωφρονεστέροις πεπίστευται.

λόγος ἔργου σκιά

Ἀξιόχῳ. xxxiii.

σ εμνύνεσθαι μὲν ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ' εὐγενείᾳ εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν ἀρετὴν οἶδα, τὰ δὲ ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων, ἀγαθός. καὶ βασιλέων, καὶ πάντων εὐγενέστατος. ὁ δὲ ἐξ ἀγαθῶν, φαῦλος. αὐτός τε ἑαυτοῦ, καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαιρον αὔχει πρὸς συρακουσίους, μὴ προγόνων τεθνηκυῖαν ἐν ἀδοξοτέροις διαδόχοις εὐγένειαν.

Nobilitas una est In virtute

Δημοτέλει. xxxiiii.

σ υγγνώμην ἔχω σοι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονώς, τυράννῳ συμβουλεύεις καταθέσθαι τυραννίδα, θεῶν μὲν οὐδένα μοι διδοὺς τῆς ἀσφαλείας ἐγγυητὴν, ᾧ τάχα ἂν καὶ ἐπείσθην. σαυτὸν δ' ἀξιοπιστὸν ἡγούμενος, καὶ ὑπὲρ τηλικούτων

dissuadebat phalaridi tyrannidem

πράγματος ἀνάλογον. σχεδὸν οἶμ' εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν τοιαύτην ἀρχήν, ἀσφαλέστερόν ἐστι τὸ καταθέσθαι. ὥσπερ γὰρ ἰδιώτῃ τοῦ τυραννῆσαι πολλῷ λυσιτελέστερόν ἐστι τὸ μὴ τυραννῆσαι, οὕτω τυράννῳ τοῦ καταθέσθαι, τὸ μὴ καταθέσθαι τὴν ἀρχὴν τῆς τυραννίδος. καθόλου δὲ τὸ περὶ τυραννίδος οὕτως, ὡς περὶ γενέσεως καὶ ζωῆς ἀνθρώπου φροντιστέον. οὔτε γὰρ ἄνθρωπος ἀκούσας περὶ τῆς γενέσεως αὐτοῦ, εἴ πως γένοιτο δυνατόν, ὅσοις μέλλει δυσκόλοις ἐγκυρήσειν παρὰ τὸν βίον, γεννηθῆναι βουληθείη πρῶτον ἄν, οὔτ' ἰδιώτης ἐσπουδακὼς τυραννῆσαι, πεπυσμένος τὰς ἐν τυραννίδι κακοδαιμονίας, τύραννος ἄν, ἀλλ' οὐκ ἰδιώτης ἐθελήσειε καταβιῶναι. οὕτω δημοτελὲς ἀνθρώπῳ, τοῦ μὴ γενέσθαι συμφορώτερον ὁρῶ τὸ μὴ γενέσθαι. τοῦ τυραννῆσαι δὲ, τὸ μεῖναι μέχρι ζωῆς ἰδιώτην. εἰ μὲν οὖν πρὸ τῆς τυραννίδος, τὰ περὶ αὐτῆς μοι διηγησάμενος κακὰ συνεβούλευες, πάντως ἂν ἐπείσθην μὴ τυραννῆσαι. τύραννος δ' ὤν, καὶ διὰ τὴν ἀνάγκην τῆς ἀρχῆς εἰς πολλὰ προπεπτωκώς, οὐχ οἷον ἀνθρώπῳ τινὶ πεισθείην καταθέσθαι τὴν ταύτης ἐξουσίαν, ἀλλ' οὐδὲ θεῷ τῷ δυναστεύοντι. καταθέμενον γὰρ τὴν ἀρχήν, οἶδ' ὅτι δεῖ, πολλὰ καὶ δεινὰ παθόντα πρὸς τῶν τυραννηθέντων, οὕτω καταστρέψαι τὸν βίον.

Simile de hois ortu et de tyrannide.

periculosa vita. Mors q tyrannidem deponunt

Πολυστράτῳ. XXXV.

Καὶ τοῖς ἄλλοις ἅπασι φίλοις ἐπέσταλκα διὰ ταχέων ἐλθεῖν εἰς Ἀκράγαντα. καὶ σοῦ δέομαι παραγενέσθαι πρὸ ὀλυμπίων. βούλομαι γὰρ τῶν μάλιστα ἀνυστάτων σύλλογον ἀγαγεῖν, τὴν πρέπουσαν ἐπιμέλειαν, ὥσπερ ἄλλοτε καὶ νῦν ποιήσασθαι, καὶ περὶ πραγμάτων ἐπισφαλῶν, καὶ μεγάλων, γνώμην λαβεῖν. ἀτόπου μὲν, ἢ δυσκόλου μεταδώσων οὐδενός. ἀρκέσω γὰρ ἐγὼ τοῖς ἐμαυτοῦ. πεισθησόμενος δέ, οἷς ἂν ἐγκρίνητε. ἵνα μενούσης μὲν τῆς ἀρχῆς ἐν οἷς ἐστι, πολλάκις ὑμᾶς δεξιώσωμαι. πιπτούσης δὲ ταύτης, ἐὰν δοκῇ τῷ δαίμονι, τὴν ὑστάτην λαβόντες προσαγόρευσιν, μνήμονες εὐσεβεῖς, ὧν ἐφιλοτιμήθημεν εἰς ὑ-

σύλλογον ἀγαγεῖν

μᾶς γενήσεσθε. ἥκετε οὖν ἀνυπερθέτως τῇ προτέρᾳ προθυμίᾳ κεχρημένοι πρὸς φάλαριν. ὃν μάλιστα ὑμεῖς γινώσκετε.

Παυρόλᾳ. xxxvi.

ἐδεξάμην τὸν ὑπὸ σοῦ πεμφθέντα μοι στέφανον, ὁλκῆς χρυσῶν ἑξακοσίων. ὃν τύχης μὲν ἕνεκα, καὶ τῆς τοῦ πέμψαντος φιλοτιμίας, εἴληφα. στεφανωσάμενος δ᾽ αὐτὸν ἡμέραν μίαν, ἐν ᾗ τοῖς πατρῴοις θεοῖς ἐπινίκια τῆς πρὸς λεοντίνους μάχης ἐβουθύτουν, τὸν αὐτὸν ἀπέσταλκα δῶρον ἐρυθίᾳ τῇ μητρί σου. οὐδένα γὰρ ἄλλον ἀξιώτερον, δι᾽ αὐτὴν κοσμηθῆναι πολυτελείᾳ, ἢ μητέρα. γένοιο δ᾽ ἂν ἡμῖν καλλίων σύ. καὶ περιποθέστερος στέφανος, εἰ τῆς τῶν γονέων ἀρχῆς, ἄξια φρονῶν εὑρεθείης.

Πολυτίωνι. xxxvii.

ἐπιτρέπουσι πρός με παραγενέσθαι, καθὼς ἀξιοῖς. ὅρκον δ᾽ οὐδένα σοι δίδωμι, τοῦ μηδέν σε πείσεσθαι κακόν, ἀλλὰ πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν μετὰ τῆς ἀληθείας ἀδικεῖς, οὐχ ὅτε καὶ τηρηθῇς. εἰδὼς γάρ με μηδενὶ πώποτε παραβεβηκότα πίστιν, ὡς κατεγνωκὼς, ὅρκω με τέρχῃ. καίτοι τί διαφέρει πρὸς εὐσέβειαν, ὅρκον, ἢ πίστιν συγχέαι. ἀμφότερα γὰρ ἡ γνώμη βεβαιοῖ.

Πολυτίμωνι. xxxviii.

εἰ μὲν ἀπὸ τῶν σεαυτοῦ τρόπων στοχαζόμενος ἀπιστεῖς ἐμοί, σύνεσίν μου καταδικάζεις, οὐ πονηρίαν. εἰ δ᾽ ἀπὸ τῶν ἐμῶν, ἀγνοίᾳ μου πολὺ διημάρτηκας. τοσοῦτον γὰρ ἀπέχω τοῦ παραβῆναι πίστιν, ὥστε ἀπ᾽ ἐμαυτοῦ, καὶ τοῖς ἄλλοις πέρα τοῦ δέοντος προσέχων, ὡς βεβαιοτέραν πίστεως ἔχουσιν εὐσέβειαν, πολλάκις ἐσφάλην. ἧκε οὖν ἐμοὶ πεισθεὶς, ἀνεῦ δόλου, καὶ ἀπάτης. πεισόμενος μὲν, ἄτοπον οὐδέν. μαρτυρήσων δὲ πρὸς ἅπαντας, ὅτι φάλαρις οὐ ψεύδεται πίστιν.

Νικίᾳ. xxxviiii

Φῂς μισεῖς σου τὸν υἱόν, ὅτι τοὺς σοὺς οὐ μιμεῖται τρόπους, ὑπὸ τῶν ἄλλων ἁπάντων φιλεῖται. σύνες οὖν,

ὅτι πάντες οἱ τοῦτον φιλοῦντες, σὲ μισοῦσιν.

Ἀδειμάντῳ. xxxviiii.

Ἀκούσας διαφέρεσθαι πρὸς τὸν ἀδελφόν, ὁπότερος ὑμῶν ἐστὶ χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος, ἐκείνου δὲ τοῦμπαλιν, σέ. ἐγὼ δὲ οἴομαι, μᾶλλον δὲ καὶ καλῶς πέπεισμαι, τῶν μὲν ἄλλων ἁπάντων ἐκεῖνον εἶναι κακίω. σοῦ δέ, οὔτε ἐκεῖνον, οὔτε ἄλλον ἀνθρώπων οὐδένα.

Αἰγεσταίοις. xl.

Παύσασθε μέντοι τοὺς φυγάδας ὑποδεχόμενοι. Φάλαριν γάρ, οὔτ' εὖ ποιῶν τις, οὔτε κακῶς, ἐνίκησε. μάθοιτε δ' αὐτὸ τοῦτο, εἰ τὰ Λεοντίνων, καὶ Μελιταίων ἴδοιτε. οἷς μὲν γὰρ ἐλευθερίας, Λεοντίνοις δὲ δουλείας παραίτιος ἐγενόμην. οἱ μέν, ὅτι διήρημου κατέδυσαν. οἱ Μελιταῖοι δέ, ὅτι καταδυομένην ἐβούλοντο σῶσαι.

Ἀντισθένει καὶ Θεοτίμῳ. xli.

Τῶν ὑπ' ἐμοῦ πεμφθεισῶν δωρεῶν, Ἀντισθένης μὲν τὸ μέρος ἐδέξατο. Θεότιμος δὲ οὔ. διό, τῷ μέν, οἶδα χάριν. τὸν δέ, οὐ μέμφομαι. ὁ μὲν γάρ, οὐδὲν ἠλάττωσέ με λαβών. ὁ δέ, οὐδὲν ἐζημίωσεν.

Μενεκλεῖ. xlii

Μὴ μεταμέλου χρηστὸς γινόμενος, εἰ βούλει τὴν τοῦ παιδὸς προνοίας ἀπολιμπανόμενος νομισθῆναι. ἐπεὶ καὶ τοῦ προώτου χρόνου τὴν πρὸς Καμαριναίους ὑπόληψιν προσαπολεῖς. ὑποκείσεται γὰρ καιροῦ δόξεις, οὐκ ἀληθείᾳ χρηστὸς γεγονέναι.

Ἐπιστράτῳ. xliii.

Ὡς πρὸς ἀτυχῆ τινα γράφειν ἔοικας. ἐγὼ δέ σοι τὰ περὶ ἐμοῦ συνελὼν ἐν βραχεῖ δηλώσω. εἰ τοῦτ' ἔστιν ἀτυχεῖν, τὸ γενηθέντα μὲν ὀρφανίας πειραθῆναι, νέον δὲ ὄντα, καὶ πείσασιν ἐκπεσεῖν τῆς πατρίδος, ἀπολέσαι δὲ τὰ πλεῖστα τῆς οὐσίας. διαφῆναι δὲ ἐν βαρβάρων ἔθεσι,

φάγειν

Causa belli adversus leontinos

ne te pigeat ad fingendum ...

fortuna phalaridis

φάγειν δὲ ἐξ αὐτῆς τῆς γῆς ἀδικούμενοι. ἐπιβουλεύεσθαι δὲ, μὴ μόνον ὑπὸ ἐχθρῶν, ἀλλὰ καὶ τῶν εὐεργετουμένων. τυραννήσαντα δὲ, ἀπεύχεσθαι καὶ τὸν ἐν τυραννίδι βίον, ὦ τυχοῦμεν.

Ὀνήβει. xxxxiiii.

κ Αἰ σὺ καὶ πάντες οἱ φίλοι, τοῦτ' ἄν μοι χαρίζοισθε, μήτε ἐξετάζοντες περὶ ἐμοῦ μηδὲν, μήτε πολυπραγμονοῦντες, εἰ μή τι βουλοίμην. τοιαῦτα γὰρ δεῖ τὰ τῆς τύχης περὶ ἡμᾶς, ὥς μᾶλλον ἡσθῆναι τοὺς ἐχθροὺς ἀκούσαντας, ἢ λυπηθῆναι τοὺς φίλους μὴ συνυπακούσαντας.

Ἐπονίκῃ. xxxxiiiii.

τ ῆς μὲν τῶν ἄλλων ἔχθρας, ὅσοι τί κακόν με δεδράκασιν, ὡς παρακαλεῖς, κἂν ἐπιλαθοίμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν ὥς φασί τινες, οὐ προσήκει. τῆς μέντοι πύθωνος εἰς ἐμαυτὸν δυσμενείας, οὐ μόνον ζῶν, ἀλλ' οὐδ' ἂν ἀποθανὼν, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν, ἐπιλαθοίμην. ὁ γὰρ τὰ μέγιστά με τῶν κακῶν ἐργασάμενος, οὗτός ἐστιν, ὁ μετὰ τὴν ἐμὴν φυγὴν, ἐρυθίαν τὴν γυναῖκα βουλομένην ἐμὲ διώκειν, ἀναινομένην δὲ τοῦτο γήμασθαι, φαρμάκῳ διαφθείρας.

Mortalium ira non debet esse immortalis

renuentem

Λεοντίνοις. xxxxvi

λ Εὠνίδαν ὃν ἐξεπέμψατε κατάσκοπον τῶν ἐμῶν πραγμάτων ἁλόντα, δυνάμενος ἀποκτεῖναι, σέσωκα, οὐχ ὑμῖν χαριζόμενος. ἀλλ' ἵνα μὴ ζῶν, τίς ὑμῖν σαφῶς ἀπαγγέλλῃ τὴν παρασκευὴν τοῦ καθ' ὑμῶν πολέμου. καὶ γὰρ ἐμοὶ πιστῶς ἂν ἐβασάνισε τὰ παρ' ὑμῖν ἐδήλωσεν, ὅτι πάντων ἐνδεεῖς ἐστε πλὴν λιμοῦ καὶ φόβου. τούτων δὲ ὑμᾶς φησι λίαν εὐπορεῖν.

abundatis fame et metu

Ἱμεραίοις. xxxxvii.

ε Γὼ πάντα μὲν ὑπὲρ Στησιχόρου πρᾶξαι ἕτοιμός εἰμι. κἂν, εἰ πρὸς αὐτὸν ἔδει με τὴν μοῖραν ὅπλα αἴρεσθαι περὶ τοῦ

θανάτου διαγωνίσασθαι, οὐκ ἂν ὤκνησα, ἐφ' ᾧ τε θεῖον ἄνδρα περὶ καλοὺς ὑμνῳδίας ἐπαινούμενον, ὑμῖν τε καὶ τοῖς ἄλλοις ἀνθρώποις περισώσασθαι. ὃν ἐξ ἁπάντων αἱ καθαρώταται θεαὶ μοῦσαι προετίμησαν ὑμνοπόλων. διὸ οὐ μέλη, καὶ χοροὺς ἐξήνεγκαν. λογίσασθε δὲ, ὡς ὅπου ποτ' ἂν ταφῇ στησίχορος, ἱμεραῖος ἐστί. καὶ πάσης μὲν πατρίδος κληθήσεται διὰ τὴν ἀρετήν. μενεῖ δὲ ὑμέτερος. ἀμαθὲ, μηδὲ οἴεσθε ἕνα τῶν νεκρῶν στησίχορον, ἀλλ' ἐν τοῖς ποιήμασιν εἶναι, ἃ κοινὰ πάντων ἀνθρώπων πεποίηται. δέξασθε οὖν ἱμεραῖοι, παρὰ μὲν ὑμῖν γεννηθέντα θάψαι τὸν ἥρωα, καὶ παιδευθέντα καταβιῶναι, γηράσκοντα ἐν ὕμνοις καὶ μέλεσι. παρὰ δὲ καταναίοις τοῦτο βουληθεῖσιν, εἰς ἄλλο τι τῆς φύσεως μεταβαλούσης, τελευτῆσαι. καὶ ἐν μὲν ἱμέρα, νεὼς ἱστάσθω στησιχόρου, μνημεῖον ἀρετῆς ἀθανάτου. ἐν δὲ κατάνῃ, τὸ σπουδαζόμενον ὑπ' αὐτοῦ τάφος. περὶ μὲν τούτων, ὅπως ἂν ἄμεινον δόξῃ καὶ ὑμῖν αὐτοῖς, πράσσετε. μήτε χρημάτων τὸ ἐπ' ἐμοὶ, μήθ' ὅπλων ἐνδεεῖς εἶναι νομίζοντες, μήτ' ἀνδρῶν. ἓν δὲ προνοεῖσθε, ὡς οὔτε ἑλοῦσιν ὑμῖν πόλιν ἐν σικελίᾳ, σικελιώταις οὐ συμπρεπές, οὔτε μὴ ἑλοῦσιν, ἀσφαλές. τὸν δὲ ἄνδρα μὴ στένετε, μήτε ὀλοφύρεσθε, κινοῦντές τι τῆς ἐπ' αὐτοῦ τύχης. τέθνηκε γὰρ τὸ σῶμα τὸ στησιχόρου. τοὔνομα δὲ παραλαβὼν ὁ ἀνήνυτος αἰὼν, εὐκλεὲς μὲν ἐν βίῳ, μακάριον δὲ ἐν μνήμαις ἀναθήσεται. τὰ μέντοι μέλη καὶ ἔπη, καὶ παντοῖα ποιήματα, παραινῶ καὶ δημοσίᾳ ἐν ἅπασι τοῖς ἱεροῖς ἀναγράφεσθαι, καὶ ἰδίᾳ ἕκαστον ἐν τῷ σφετέρῳ οἴκῳ. τότε γὰρ ἂν ἀφανίζοιτο στησίχορος, ὅταν τούτων τι μὴ φυλάττηται. εἴς τε τοὺς ἄλλους ἀνθρώπους διαπέμψασθε ἐπιμελῶς. εἰδότες ὅτι μᾶλλον τοῦ γράψαντος ἀνδρὸς, ἡ θρέψασα πόλις τὸν τοιοῦτον, ὑπὸ πάντων θαυμασθήσεται.

*Stesichorus ex urbe imera*

*no[n] p[er]it cuius fama vivit*

Θρασυμήδει. xxxxviii

τ ὸ φρούριον, ὃ σὺ πορθῶν ἐγκατέλιπες, ὑπὸ τῶν περὶ τεῦκρον ἐξ ἐπιδρομῆς καθῃρέθη. τὸ δὲ περὶ τὴν ἐπιστολὴν τεῖχος, συντομώτερον ἴσθι ληφθὲν τὸ χωρίον.

Ἀβάριδι. xxxxviiii

π Υνθάνομαί σε χαίρειν ὁμιλίαις ἀνδρῶν σοφῶν, ἐξ ὑπερβορέων εἰς τοὺς καθ' ἡμᾶς ἀφῖχθαι τόπους. πυθαγόρα μὲν οὖν τῷ φιλοσόφῳ, καὶ στησιχόρῳ τῷ ποιητῇ, καί τισιν ἄλλοις τῶν ἐλλογίμων ἑλλήνων συμμεμιχέναι, καὶ πολλὰ παρ' αὐτῶν προσμεμαθηκέναι. ζητεῖν δὲ καὶ πλείοσιν, ἱστορίας χαίρειν, ὧν οὐκ οἶσθα, ἐντυχεῖν. εἰ μὲν οὖν προκατέσχησαι ταῖς ἐμαῖς διαβολαῖς, καὶ πέπεισαι τοιοῦτον εἶναί με, ὁποῖον οἱ διαβάλλοντες εἰσάγουσι, μεταπείθειν οὐ ῥᾴδιον. εἰ δὲ τὸ ἀληθὲς ἐξετάζεσθαι δίκαιοις παρὰ πᾶσι μὲν ἀνθρώποις, μάλιστα δὲ παρὰ σοφοῖς ἀνδράσιν, ἐλθὲ πρός με συντηρησόμενος, ὡς ἄλλοι πολλοὶ τῶν ἀξίων λόγου. γνώσῃ γὰρ ἐκ πείρας, τά τε ἄλλα ἅπαντα παρ' ἐμοὶ κάλλιον καὶ σεμνότερον. εἰ δὲ δεῖ εἰπεῖν μηδὲν ὀκνήσαντα, καὶ φιλανθρωπότερον, ἢ πρὸς τὴν κατέχουσαν τύχην ἐσχηματισμένα. καὶ τὸν ταῦτα διέποντα φάλαριν, οὐδενὸς τῶν σφόδρα ἐπὶ τούτοις θαυμαζομένων δεύτερον.

Ἐπιχάρμῳ l.

π Ερὶ τῶν αὐτῶν ὧν, σὺ καὶ δημοτέλης ἡμῖν συνεβουλεύετε, ἀποστῆναι τῆς τυραννίδος, ταῦτα οὐ δυσνοοῦντες, ἀλλ' ἀγνοοῦντες διὰ τὴν ἀπειρίαν, οὕτω συνεβουλεύετε. τὸ μὲν γὰρ ἄρξασθαι τυραννίδος, ὀρεγομένου. τὸ παύσασθαι δὲ οὐκέτι. διὰ τὸ πολλὰ μὴ δεόντως πρᾶξαι. ὥσπερ οὐδὲ τοξότῃ μεθέντι τὸν ὀϊστὸν, ἀναλαβεῖν τὸ βεβλημένον. ἀλλ' εἰ μὲν δυνατὸν ὑμῖν οὖσιν ἀνελεῖν τὴν ἀρχὴν τῆς τυραννίδος, καὶ δὴ ποιεῖτε. εἰ δὲ τοῦτο ἐστὶν ἀδύνατον, ἀδυνατωτέραν ἴστε τὴν ὑμετέραν παραίνεσιν ἐμοὶ δόξαι συμφέρειν.

ε Ι τὸ Στησιχόρου ἀδελφοῦ ἀξιωθῆναι παρ' ἡμῖν, αἰχμαλώτου γε-
γενομένου, ἐπ' αἱρέσει κατ' ἐμοῦ γράφειν ῥαψῳδίας, ὡς πᾶσι τοῖς ποιηταῖς ἡμέρως προσενεχθησομένου μου, πολὺ τῆς ἀληθείας διαμαρτάνεις. οὐ γὰρ ἀποδέχομαι κοινότητι ποιητάς, ἀλλὰ τοὺς ἀγαθοὺς τῶν ποιητῶν. οὐδὲ τοὺς εἰς ἔχθραν ἐμοὶ καθεστάντας πάντας. ἀλλὰ τοὺς γνωρίμους τῶν ἐχθρῶν. οὐδὲ κακὸς μὲν ποιητής, ἄναλκις δὲ ἐχθρός, καὶ κατὰ ἀνδρείαν, καὶ κατὰ δύναμιν ποιητικήν, Στησιχόρῳ σεαυτὸν προσεικάζεις. γνώσῃ δὲ τὴν ταχίστην τοῦ λεγομένου διαίρεσιν. οὐκ εἰς μακράν. οὐ περὶ ὧν εἰς ἡμᾶς γράφεις. πάντων γὰρ ἂν εἴην ἀτυχότατος, εἰ καὶ τῶν σῶν ἐπιστραφείην δραμάτων, ἀλλ' ὅτι τοιοῦτος ὢν ἐχθρὸς καὶ ποιητὴς τῶν αὐτῶν σεαυτὸν καὶ Στησίχορον ἀξιοῖς.

Πελοπίδῃ. lii

ο Ὑτ' ἂν ἐγὼ γράψαιμι πρὸς Στησίχορον περὶ ὧν ἀξιοῖς, οὔτ' ἂν ἐκεῖνος ἐπινεύσειεν, εἴς τινα τῶν οὐκ ἔτι ζώντων ἐνεγκεῖν μέλος, εἰ καὶ γράψαιμεν ἡμεῖς. ἀπόχρη δέ μοι χάριν εἰληφέναι παρ' αὐτοῦ, τοῦ ἐπὶ τῇ Μινοκλέους γυναικὶ κρίσιν. εἰ δέ τι βούλει παρ' ἡμῶν αἰτεῖν, οὗτινος ἡ ἐξουσία, οὐκ ἐπ' ἀλλοτρίαν, ἀλλ' ἐπὶ τὴν ἐμὴν ἀνήκει γνώμην, ἐπίστελλε.

Παυρόλᾳ. liii

α Φικόμενος εἰς Ἱμέραν, ἀναγκαίας ἕνεκα πραγματείας, ἤκουσα τῶν Στησιχόρου θυγατέρων ποιήματα λυριζουσῶν. ἃ μὲν αὐτοῦ Στησιχόρου γεγραφότος, ἃ δὲ τῶν παρθένων ἴδια. ὧν δὲ τῶν μὲν Στησιχόρου τὰ τῶν θυγατέρων ἥττονα. τῶν δὲ ἄλλων εἴ τινα καὶ συγκρίσιν ἐξετασθείη, καὶ πολὺ βελτίονα. ὥστε με βιόλβιον ἡγήσασθαι τὸν διδάξαντα, βιολβεῖ δὲ καὶ τὰς παρὰ φύσιν εἰς τοσοῦτον βάθος παιδείας ἀχθείσας. εἶεν δή, Παυρόλα. σφόδρα γὰρ καὶ διὰ ταῦτα ἐπιζητῶ μαθεῖν, τίνα δή ποτε γνώμην ἔχων, τὸ μὲν σῶμα γυμνάζεις, ὅπλοις τε καὶ κυνηγεσίαις, καὶ ταῖς ἄλλαις κακοπαθείαις, τὴν δὲ ψυχὴν ἀγύμναστον ἐᾷς, λόγου τε καὶ παιδείας ἑλληνικῆς, ἣν ἐχρῆν

stesichorus bonus poeta & fortis Imperator

si quid petis quod possis me fir… scribe

filia stesicho

πρὸς τὸ ἐπὶ τὸ βίου τὸ ζῶντα κτήσασθαι καὶ μόνου. σώματος μὲν γὰρ ἐπιμελη-
τέον ὑγείας χάριν, ἢ ἰσχύος. εἰ μήτις ἱερῶν ἀγώνων ἕνεκα ἀ-
θλοίη. ψυχῆς δὲ, πάντας τρόπους προνοεῖσθαι χρὴ, τὸν μέλλον-
τα μετὰ ἀρετῆς τιμῆς εὐδαιμονέστατον μὲν ζήσεσθαι τὸ λοιπόν. εἴτε
μὴ οὐ τοῦθ' ὅ κατηγοροῦσί τινες, ὥρμηκας ἐπὶ τὸ ζηλοῦν, καὶ μιμεῖ-
σθαι τὸν ἐν τυραννίδι βίον, ὡς προσῆκον τέ σοι κατὰ νόμους, καὶ
διὰ τοῦτο σωματικὴν ἐπασκεῖς ῥώμην, οἰόμενος ἁρμόζου-
σαν εἶναί σοι τὴν ἰσχὺν εἰς τὴν τῆς δυναστείας κατάκτησιν. ὅ-
περ ἐὰν σὺ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου περὶ μο-
ναρχίας, οὐχ ἑκουσίως, ἀλλ' ἐξ ἀνάγκης τοῦτον ἐπανελομένου τὸν
βίον, γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννη-
θῆναι μᾶλλον ἂν ἕλοιτ' ἂν, ἢ τυραννῆσαι. ὁ μὲν γὰρ, ἕνα φοβεῖται,
τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον. ὁ τύραννος δὲ,
καὶ τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι' οὓς σώζεται. ἀνάγκη γὰρ
αὐτὸν μετὰ τῶν πολλῶν φόβων, καὶ ταλαιπωριῶν, πρώτους εὐλα-
βεῖσθαι τοὺς φυλάττοντας. ὥστε ἐμφρονέστερον δεξάμενος τὴν
τοῦ συμβουλεύοντος πρὸς εὔνοιαν, ἴσως ἄξιος ἂν πᾶσιν εἶναι. τὸ δὲ
ἐκ φόβων διηνεκῶν, καὶ κινδύνων ἀδιαπαύστων αὐτεξούσιον, ἐ-
χθροῖς, καὶ παισὶν ἐχθρῶν πάρες. εἰ δὲ ἀπειρία καὶ νεότητι, τὸν ἐν
τυραννίδι βίον οἴει τι τερπνὸν, καὶ προσφιλὲς ἔχειν, ἀλλ' οὐ τὰς
αὐτῷ τὰς συμφορὰς καὶ κακοδαιμονίας, πάντως μὲν ἁμαρ-
τάνεις. καὶ τοῦτο πάσχεις δι' ἄγνοιαν. εὔχου δέ σοι τὸν θεὸν, μηδέπο-
τε τυραννικῆς πεῖραν παραστῆσαι τύχης.

Ἐρυθίᾳ. liiii

Εἰ μὲν εὐλαβουμένη τὸν ἐν τυραννίδι βίον, οὐ τολμᾷς εἰς
ἀκράγαντα πέμψαι Παυρόλαν, συγγνώμην ἔχωσί σοι, καὶ
ὡς γυναικὶ, καὶ ὡς μητρὶ, δεδοικυίᾳ περὶ ἀγαπητοῦ παιδός. εἰ δὲ
ὡς μόνῃ, καὶ οὐ μετ' ἐμοῦ γεγεννηκυίᾳ, μόνη δικαιοῖς ἔχειν αὐτὸν, ἀ-
γνωμονεῖς ἐκείνους τοὺς περὶ γονέων. ἐπεὶ μὲν γὰρ τὸν ἀποτομώτατον λό-

γον, πατρὸς ἂν εἴη μᾶλλον παῖς, ἢ μητρός. κατὰ δὲ τὸν ἀγνωμονέστερον, ἑκατέρων ἴσος. εἰ δὲ τὸ μεταδοῦναί ποτε τῷ γε γεννηκότι τὸν υἱὸν, ζώντων ἐλάττωσιν ἡγῇ, τί δοκεῖς τὸν μηδὲ μέρους ἀξιούμενον. κοινωνικώτερον δὴ ποιοῦσα, πέμψον αὐτὸν ὡς ἐμὲ. οὐ διὰ μακρᾶς ἥξοντα πρὸς σὲ, ἀλλὰ θᾶττον, καὶ μεθ' ὅσων δεῖ Φαλάριδος, καὶ ἐρυθρίας παιδεία. ἵνα καὶ μὴ μετ' ἐμοῦ, μετ' ἀλλήλων γοῦν ἐν ἀφθονίᾳ βίου βιωτάκτε. εἰς τίνας γὰρ ἄν τις ἂν δικαιοτέρους δέξαιτο περιουσιάζειν γυναικὸς ἢ παιδὸς οὐκ ἐπιμεληθείς. ἐγὼ δὲ περὶ ὑμᾶς ἐσπουδακὼς, ὡς εἰκὸς ἄνδρα καὶ πατέρα, βούλομαι τὴν παρ' ἐμοὶ χρημάτων μοῖραν οὐκ ὀλίγην ἐν ὑμῖν τοῖς φιλτάτοις ἐναπερείσασθαι. καὶ τοῦτο ζῶν ἔχει πρᾶξαι, καὶ διὰ τἆλλα μὲν, οὐχ ἥκιστα δὲ, διὰ τὸ ἐπιὸν γῆρας, καὶ διὰ τὴν πρόσφατον συμβεβηκυῖαν μοι χαλεπὴν νόσον. ὑπομιμνήσκει γάρ με τελευταίαν ἡγεῖσθαι τοῦ ζῆν ἀνθρώπῳ προθεσμίαν, τὴν ἐνεστῶσαν ἡμέραν. τῆς δὲ παρουσίας τῆς ἐκεῖθεν εἰς Ἀκράγαντα, καὶ τῆς ἐνθένδε πάλιν ἀφόβου, τὸ πιστὸν αὐτῷ πρὸς ἀσφάλειαν ἡ τοῦ πατρὸς εὔνοια παρέξεται μᾶλλον, ἢ ὁ τῆς μητρὸς φόβος.

Πολυκλείτῳ. lv

ο Υκ οἶδα τί σου μᾶλλον θαυμάσαιμι ὦ Πολύκλειτε. τὴν ἰσχὺν τῆς ἰατρικῆς, ἢ τὴν τοῦ τρόπου πίστιν. ἡ μὲν γὰρ ἰσχὺς, τυραννοκτόνον νενίκηκε πάθος. ὁ δὲ τρόπος, τιμὰς τυραννοκτόνους. δι' ἀμφοτέρων δὲ τούτων ἡ σὴ δικαιοσύνη δραμοῦσα, τὸν δυσὶ κινδύνοιν αἱρούμενον, ἀφανίζοντι νόσου προσβολῇ, καὶ τιμαῖς πολεμίων διασώσασα. μόνῳ γάρ σοι παρῆν κτεῖναι τὸν με τοῦ πάθους, τε τυραννοκτονηκέναι δοκεῖν, καὶ μὴ κτείναντος, πάνυ ἑτοίμως δοθὲν, ὡς ἐπὶ σωτηρίᾳ μου λαμβάνοντος διαφθεῖραι. ἦν δὲ καὶ τὸ δόξαι διαφθεῖραι πρὸς τὸ τυχεῖν τῶν ὁμοίων τιμῶν. ἀλλ' οὔτε γὰρ ἐβουλήθης κέρδος ἄδικον, ἀντὶ δόξης δικαίας ἑλέσθαι. ἴσως γὰρ οὐδὲ εἶχεν ὁ παραδοὺς σοι καιρὸς ἐμὲ διὰ τὴν νόσον, τυραννοκτονίας ἀσεβοῦς τόπον. ἐγὼ μὲν οὖν ἐπὶ σοὶ γενόμενος

ὅτι βούλοιό μοι χρῆσθαι, τὰς ἀξίας χάριτας οὐκ ἔχων τοσαύτην ἀρετὴν ἀποδοῦναι, τοῦθ' ἓν οἶδα, ὅτι τοῦ κτίσαντος θεοῦ τὴν τέχνην, ἄξια φρονεῖν ἐπαιδεύθης. ὅμως σὺν τοῖς τῆς ἰατρικῆς, καὶ τοῖς τῆς πίστεως ἐπαίνοις, ἀπέσταλκά σοι τῆς ἐμαυτοῦ ψυχῆς χαριστήρια, φιάλας ἀπέφθου χρυσοῦ τέσσαρας, καὶ κρατῆρας ἀργυροῦς, οὐ τῆς καθ' ἡμᾶς τέχνης δύο. καὶ ποτηρίων, θηρικλείων, ζεύγη δέκα. καὶ παῖδας ἀφθόρους εἴκοσι. καὶ ἀργυρίου μυριάδας ἀττικὰς πέντε. γέγραφα δὲ καὶ Τεύκρῳ τῷ ἐπὶ τῆς διοικήσεως, διδόναι σοι σύνταξιν, ὅσην λαμβάνουσιν, οἵ τε ναύαρχοι, καὶ οἱ σωματοφύλακες, καὶ τῶν λοιπῶν οἱ ταξίαρχοι, μικρὰν ἀμοιβὴν ἀντὶ μεγάλης εὐεργεσίας. προσκείσθω δὲ τὸ καταδεέστερον τῆς εὐχαριστίας, τὸ προσομολογεῖν ἴσην ἀμοιβὴν οὐκ ἔχειν ἀποδοῦναι τὸν εὐεργετηθέντα.

si mea opera uti volis

Munera quae misit medico

sun taxio

Πολυκλείτῳ. lvi

Reponenda ex pag

ἀ Πέλυσα διὰ σὲ Κάλλαισχρον. οὕτως ἐπιβουλεύσαντά μοι φανερῶς, ὡς μὴ μόνον ὁμολογῆσαι τὴν ἐπίθεσιν, ἀλλὰ καὶ τοὺς συνωμότας μηνῦσαι. προσθεῖναι δὲ τῇ μηνύσει, καὶ τὸν τόπον, ἐν ᾧ καὶ πότε, καὶ πῶς ἔμελλον ἐπιχειρεῖν. ἀλλ' ἦν ἀμνήμονος ὡς ἔοικεν αὐτὸς, μὴ χαρίσασθαι σωτηρίαν ἀνθρώπῳ τῷ ταύτην δεδωρημένῳ. ἅμα δὲ ἐλογιζόμην, ὅτι κἀμοῦ μὲν ἦν τὸ δοῦναι τοιαύτην χάριν, ἰατρῷ σοι κοινόν τι. πρὸ πολλοῦ δέ σοι τὸ λαβεῖν πρεπωδέστερον, τῷ τῆς ἰατρικῆς προεστῶτι, καὶ πάντας σώζοντι τοὺς δεηθέντας. ἴδε τοίνυν τὸ παράλογον Κάλλαισχρος, ὅτι ζωῆς χάριν παρὰ σοῦ εἴληφεν, ἑτέρου ζωὴν οὐ δικαίως ἀφελόμενος. ἀφῆκε μὲν γὰρ οὐ μελλήσας. ἄλλως δὲ ἠτύχηκεν.

quod vero deest gra. supplebit

Hoc meo testimonio quod Ma kallaischrij eadem monstrara no possum

multo vero Honestius

Ὀρσιλόχῳ. lvii

ἐ Ι τὸ μὴ βουληθῆναί ποτε πυθαγόραν τὸν φιλόσοφον, ἀφικέσθαι πρός με, πολλάκις ὑπ' ἐμοῦ καλούμενον, διαβολὴν ἔφερέ μοι καθὼς ἐγκωμιάζων αὐτὸν ἔλεγες, ἐπὶ τῷ ψέγειν αὐτὸν τὴν μετ' ἐμοῦ συμβίωσιν, τὸ παρα-

pythagoras vocatus aphalaride nolint venire

πεπονθέναι, καὶ πέμπτον ἤδη μῆνα συνεῖναι μεθ' ἡδονῆς, πάν-
τως ἔπαινός ἐστιν ἐμός. δῆλον γὰρ ὡς οὐκ ἂν ἔμεινεν οὐδὲ βρα-
χὺ μόριον ἡμέρας, εἰ μὴ τοῖς αὐτοῦ τρόποις ἀρκῶν κἀμὲ πα-
ραπλήσιον. Λεοντίδῃ. lviii.

α΄ Μέτροις κέχρησαι λόγοις πρὸς Καμαριναίους, ἐγείρων αὐτοὺς εἰς τὸν κατ' ἐμοῦ πόλεμον. ἀλλὰ μὴν τοῦτο καὶ τὸ δὲ ἀφ' ἡμῶν ἴσθι, μὴ καλῶς πεπεικὼς αὐτούς, ὅτι οὐ λόγοις ἀπεράντοις ἀμυνούμεθά σε, οἷς ἡμᾶς ἄρχειν δοκεῖς, ἀλλ' ἔργοις, ὧν οἱ πειραθέντες, αὖθις οὐκ ἐπεβάλλοντο. τοῦτ' εἰδότες Καμαριναῖοι, πεῖραν οὐ βούλοιντ' λαβεῖν ὀργιζομένου σφαλερὸν εἶδος. χαριζόμενος γάρ, ἡδίων αὐτοῖς ἔδοξα. Ἡγησίππῳ. lviiii.

σ΄ Ὑμεῖς μὲν ἴσως καὶ ἄλλοι συγγενεῖς, ὅσοι μάλιστα ἀχθόμενοι ἐστὲ, τὸ φεύγειν κληθέντα με, νῦν ἔγνωτε κακῶς βεβουλευμένον ἐπὶ τούτοις, ἐφ' οἷς ἀπεστερήθην τῆς πατρίδος, ὅτ' οὐδενὸς ἑτέρου καιρός, ἢ μεταμελείας. ἐγὼ δὲ ὅτε μάλιστα πολὺς ἐν ταῖς τοῦ πολιτεύεσθαι κενοδοξίαις ἦν, τότε μάλιστα αὐτὸν ᾤκτειρον, καὶ ἐπεστελλόμην περὶ τούτου, μαρτυρόμενος, οἱ τελευτῆσαι. ὁ δ' οὐ πρὸ τῆς ἡδονῆς τοῦ τιμᾶσθαι γενειῶν, ἐκπαθὴς ἦν, λήρους ἡμᾶς ὑποπτεύων γράφειν, οὐκ ὄντας ἐμπείρους δημοκρατουμένης πόλεως. μᾶλλον δὲ οὐδὲ βουλομένους εἰδέναι, τὸν ὑπὲρ τῆς πόλεως τὰ ἄριστα πράξαντα, διὰ τὴν τυραννίδα ἕως οὗ λαμπρότερον φυσήσας, ἢ συνέφερε τοῖς ἰδίοις φυσήμασιν ἀνετράπη. καὶ μετὰ ζημίας ἔγνω μεγάλης, οὐ φαύλαιν ἀμαθῆ πόλεως ἀνομουμένης διὰ τὴν ἀρχήν, ἀλλ' αὐτὸν ἀγνοοῦντα δήμου διὰ τὴν πρὸς καιρὸν ἀπειρίαν. ἐπαγγελῶν γὰρ ὄχλος εἰς ἀτυχίαν, καὶ τὰς ἀρχὰς πρὸς τὰ τέλη διαφορούσας ἔχων. ἐγὼ γοῦν, καὶ πᾶς ὁ μὴ παραφρονῶν, συνείργεσθαι μᾶλλον ὑπὸ πλήθους ἀκείνου βουλοίμην ἄν, ἢ τιμᾶσθαι. τὸ μὲν γὰρ ἔχθος αὐτοῦ, τάχιον τοῦ διαφθῆναι σβέννυται. καὶ οὐδὲ ἐν οἷς ἀκμάζει καιροῖς, ἐπιζήμιόν ἐστιν.

πολὺς ἦν ἐν
κενοδοξίαις . multus
erat in rebus nominis
...

ἡ δὲ τῆς εὐνοίας δόκησις, φυγάς, ἢ θανάτους, ἢ δημεύσεις, ἢ τούτων κεμεδιώτερον οὐδὲν φέρει. νὴ δία τὸν μέγιστον ἡγήσιππε εὖ ἴσμεν, οὕτως ἂν εἴποιμεν πρὸς σέ. δῆμος ἅπας, ἄτακτος, ἄνους, ἀπέραντος, ἑτοιμότατος ἐφ' ὅτου τύχοι μεταχθῆναι. ἄπιστος, ἀβέβαιος, ὀξύς, προδοτικός, ἐψευσμένος, φωνὴ μόνον. ἀνωφελής. καὶ πρὸς ὀργὴν, καὶ πρὸς ἔπαινον εὐχερής. τοῦτ' ἐστὶ τὸ, μετ' ἐνδόξου προπηλακισμοῦ φθείρεσθαι, τὸ, δήμῳ πολιτευόμενον ζητεῖν ἀρέσκειν. μεμηνύασι δὲ ὅμως τινὲς εἰς τοῦτο, ἀνοήτῳ καὶ δυσκαθέκτῳ ὁρμῇ, μᾶλλον δὲ λύσσῃ χρώμενοι. καὶ πολλοὶ παίδων ὄντες ἐρασταὶ, τοσούτους πόθους οὐκ ἔσχον εἰς τέκνα. καὶ χαίροντες γάμοις, οὐχ οὕτως εἶδον ἀσμένως γυναῖκας, καὶ φιλόπλουτοι ὄντες, οὐ παραπλησίως ἔστερξαν χρήματα. καὶ φίλοπλοι καὶ μαχηταὶ, καὶ φιλιπποτρόφοι, νίκης ἕνεκα τῆς ἐν ὀλυμπίασιν ἀγώνων, οὐκ ἐπὶ τοσοῦτον ἤθλησαν ἕκαστοι τούτων, ὡς ἀθλίαν δόξαν, καὶ τιμὴν ἀνόητον, καὶ κρότον ἐπὶ ζημίᾳ τῇ ἑαυτῶν ἀγαπῶντες. τοῖς δὲ τῶν τοιούτων ἐρασταῖς, οἱ μὲν οἰκεῖοι, συναχθεσθεῖεν ἄν, ὡς ἔνι μάλιστα. οἱ δὲ ἐχθροὶ, τὰ μέγιστα πάντων ἐφησθεῖεν. ὑμεῖς δὲ παραμυθεῖσθε μὲν κλεισθένην, συγγενεῖς ὄντες, εἰ ἄρα δυσθύμως ἔχει, ἀνθρώπινόν τι πεπονθότα. ἀποτρέπετε δὲ ἐπὶ τοῖς αὐτοῖς φιλοτιμεῖσθαι, ὡς ἂν ἥκιστα ἡμαρτηκότα.

Στησιχόρῳ, lx

ν Ικοκλῆς ὁ συρακούσιος, οὐκ ἀγνοεῖς δ' ἴσως ὃν λέγω, διὰ γὰρ ἐπιφάνειαν οἰκείαν οὐκ ἔστι τῶν ἀγνοηθῆναι δυναμένων ὑπὸ στησιχόρου, γυναικὸς ἀποθανούσης αὐτῷ, μέγα πέρος φάτος καὶ περιττὸν ἐπιτέθειται πένθος, εἰκότως. ἔτυχε γὰρ τὴν αὐτὴν ταύτην ἀδελφιδῆν ἔχων καὶ γυναῖκα. οὗτος ὁ νικοκλῆς ᾔδει γὰρ ὡς ἔοικεν, ὅσοις πρὸς ἀλλήλους κεχρήμεθα πόθοις, πέμψας πρὸς ἐμὲ κλεόνικον ἀδελφὸν αὐτοῦ. ἠξίου, ὅπως σουδὲν

θείαν, ἔπαινον ἐν ποιήσει διαθέσθαι περὶ τῆς ἀνθρώπου. καὶ γὰρ
ὡς πυνθάνομαι συρακουσίων, πᾶσαν τε τὴν ἄλλην ἀρετήν.
πρὸς δὲ καὶ τὴν ἀνωτάτω σωφροσύνην αὐτῇ προσμαρτυρούν-
των, οὐκ ἔστιν ἀνάξιος ὑπὸ τοῦ σοῦ στόματος ὑμνηθῆναι. πεφύ-
λαξαι μὲν οὖν γράφειν, εἰς τοὺς κατὰ σεαυτὸν ἀνθρώπους,
ἵνα μὴ δόξῃς οὐ τις ὠνίαν εἶναι τὴν ποίησιν. ἔστι δὴ πίστις φιλό-
της, οὐδὲ αὐτὴ καθ' ἡμᾶς, εἰς τὸ χρεὼν ἀπηλλαγμένη. μὴ δὴ
τὸ συνηθές σου τῆς γνώμης προβαλλόμενος, ἀποστραφῇς μου
τὴν δέησιν. οὐδὲ γὰρ εἰκὸς ἀτυχῆσαι παρὰ στησιχόρου φάλα-
ριν αἰτησάμενον, οὐχ ὅτι χάριτας ὀφείλεις ὑπέρ τινος, ἀλλ'
ὅτι τὴν πεπιστευμένην δόξαν, ἀξιοῦμεν ὑπὸ σοῦ βεβαιωθῆναι.
δὸς δή μοι προφανῶς χάριν τῆς αὐτοῦ φύσεως ἀφθόνως, αὐτὴν
μὲν ᾧ μὲν ἀδώσεις, εἰς ἐμαυτόν. ληψομένῳ δὲ εἰς φίλον.
λοιπὸν εἴπεν ἐνέδωκας ἐπὶ τὴν χάριν, κλεαρίστην καὶ συρακου-
σίαν τὸ γένος, ἐχεκρατίδου παιδὸς ἀδελφιδῆν, ὅτε γράφαμεν
καὶ γυναῖκα. ἐκκαίδεκα συνεζηκυῖαν ἔτη. βιακοσὸν δὲ ζήσα-
σαν. δυοῖν παίδοιν μητέρα. τεθνηκυῖαν δὲ ἐκ διαφθορᾶς. τὰ
μὲν κεφάλαια τῶν ὑποθηκῶν ταῦτα. ἐμπνευσθείης δὲ εἰς
τὰ κατὰ μέρος τῆς γραφῆς, ὑφ' ὧν κατέχῃ θεῶν. καί σου τὴν ἱε-
ρὰν, καὶ ὑμνοπόλον κεφαλὴν, ἡ μουσῶν συγγένεια κοσμήσειεν,
ἄλλαις τε ὑμνῳδίαις, καὶ τὴν ὑφ' ἡμῶν εἰς κλεαρίστην ἐπε-
σταλμένην.

## Τοῦ αὐτοῦ lxi.

Ὧν μὲν ἐπὶ κλεαρίστῃ μέλλων, πολλή σοι καὶ μεγάλη χάρις
ἀποκείσεται. καὶ γὰρ ἐπέδωκας σαυτὸν, εἰς ἀπαρακάλουν.
καὶ ταῖς κατὰ μέρος οἰκονομίαις, ὑπερφυῶς συνηνέχθης. καὶ τὸ σχῆ-
μα τῆς γραφῆς θαυμαστὸν ηὐδοκίμησεν, οὐ παρ' ἐμοὶ μόνῳ, ἐγὼ
γὰρ ἐπὶ πᾶσιν ὁμοίως ἄγαμαι τοῖς στησιχόρου, ἀλλὰ καὶ τοῖς
συνακούσασιν ἀκραγαντίνοις, πολλοῖς γενομένοις. ἔσονται δὲ οὐχ

οἱ τὸ παρὸν ἀνηκοότες, οὐδὲ ὅσοι νῦν εἰσιν, ἀλλ' ὅσους ὁ μεθή-
μας οἴσει βίος. ἡ μὲν οὖν ὑπὲρ ταύτης σου τῆς ποιήσεως χάρις
ὡς ἔφην, ὀφείλεται ὑπ' ἐμοῦ. κεχάρισαι δὲ διὰ τῆς ἐμῆς ἀξιώ-
σεως, τοῖς τε νῦν οὖσι, καὶ τοῖς ἐσομένοις ἀνθρώποις, καὶ ταύτην
τὴν μελῳδίαν. περὶ δὲ ἐμοῦ, καὶ τῶν ἐμῶν, τοιοῦτον γάρ τι διὰ
τῆς ἐπιστολῆς ἐδήλους, πρὸς ἑταῖρον ἴδιος, καὶ κοινῆς ἑστίας, μὴ
δὲ ἐν ἐντρίψει. μήθ' ὡς κάκιστος ἐγνωσμένος, μήθ' ὡς ἀγαθός, ὑπο-
μνησθῆς. ἐμμελὲς γάρ ἐστι μου τοὔνομα διὰ τὰς τύχας γεγράφθαι
δὲ Φάλαριν ἐν αὐτῷ Στησιχόρῳ, εἴτε βελτίων τῆς κατεχούσης ἐν
ἀνθρώποις δόξης, εἴτε τοὐναντίον ὑπείληπται.

## Κλεαινέτῃ, καὶ Θεανοῖ. lxii.

Ἡ μὲν φιλοφροσύνην ὑμῶν ἀσμένως ἀποδέχομαι,
τοσαύτῃ σπουδῇ βουλομένων ὀνομάσαι Φάλαριν. πα-
ραιτοῦνται δὲ αἱ τύχαι, κἂν ἡμεῖς συνηγορῶμεν. αἱρήσετε γὰρ
ἀνεπίληπτον, καὶ ἀκατηγόρητον ἐκ τοῦ γένους ὄνομα αὐτῷ
γεγενημένον. ἐγὼ δὲ πολλὰ καὶ μεγάλα διὰ πικρᾶς εἱμαρ-
μένης ἀνάγκην, ἀκουσίως πραχθέντα μοι κατέγνωσμαι. ἐς τοὐ-
μὸν ὄνομα δι' οὐδὲν ἕτερον ἐστὶν ἐκμελές, ἢ ὅτι νόμοις οὐ πεί-
θομαι. νόμος δὲ εἰμι τοῖς ὑπηκόοις. ἣν δέ μοι χάριτος ἀμοι-
βὴν προσφέρεσθε, Φάλαριν ὀνομάζουσαι, ταύτην εὐεργεσίαν
ποιήσασθε μὴ τοῦτο τιθέναι τὸ ὄνομα.

## Ἐνναίοις. lxiii.

Οὐ μεταμελόμενος ἐπὶ τῇ παρέσει τῶν χρημάτων ἄν-
δρες ἐνναῖοι, τὴν ἐπιστολὴν ταύτην ὑμῖν ἐπέσταλκα.
ἀλλ' ἵνα βεβαίαν ἔχητε τὴν χάριν, ἐπεξελθόντες τῇ δίκῃ πει-
ανδρον. τοῦ γὰρ ἀληθῶς οὐκ ἔχειν τὴν πόλιν, ἀλλὰ μὴ προφά

audiunt et posteri

Recusat phalaris a stesichoro laudari

recusat nomen tyrannidis

ἐπεξέρχομαι τῇ δίκῃ. Iudicio aggredi

ἐκμελὲς ἐστὶ τοὔνομα

σειφάδει καταχρωμένων ἀποστερεῖν τοὺς δεδανεικότας, ἀ-
πόδειξίς ἐστι μοι, τὸ τούτου τῆς κλοπῆς ὑμᾶς καταψεύσασθαι.
οὐ γὰρ ἔχει λόγον ὑγιῆ, τοὺς αὐτοὺς, τοτὲ μὲν, ὡς πενομένους
παρεῖναι, καὶ δεῖσθαι χρημάτων, τοτὲ δὲ, ὡς πλουτοῦντας,
πολλὰ τῶν κοινῶν εἰς τοὺς ἁρπάζοντας προεῖσθαι. ἀλλ' ἢ καὶ
πρὸς τοὺς δανειστὰς πλουσίους ὑμᾶς εἶναι δέον, ἢ καὶ πρὸς τοὺς
κλέπτοντας, πένητας. ἐὰν δὲ τὰ μὲν τῆς πόλεως χαρίζησθε
τοῖς νοσφιζομένοις, ὡς περιουσιάζοντες, τὰ δὲ τῶν δεδανει-
κότων ἀποστερῆτε διὰ τοὺς δημαγωγοὺς ὡς ἀπορούμενοι, πρῶ-
τον μὲν, ὃ καὶ μεῖζόν ἐστιν, ἀδικήσετε, μηδενὸς ὑμῖν ἀδικεῖν
ἐπιτρέποντος. ἔπειτα, πολλῷ δικαιότερόν ἐστιν, ἀποτίσειν ὃ δε-
δάνεισθε ὑμεῖς, ἔχειν οὐ δυνάμενοι διὰ τοὺς ἀφαιρουμένους
καὶ κομίσασθαι τὸν δεδανεικότα, ἢ Φαλάριδος ἐπ' ὀνόματι δω-
ρεᾶς χρεοκοπηθέντος, περίανδρον ἡδέως κεκερδακέναι τὰ τοῦ
παρεικότος. ὥσθ' ὑμῖν πάρεστιν, ἢ σὺν τῷ σῶσαι τὰ σφέτερα,
κυρίαν ἔχειν καὶ τὴν ἀπ' ἐμοῦ χάριν, ἢ μετὰ τῆς τῶν ἰδίων χρη-
μάτων ἀπωλείας, πραχθῆναι καὶ τὰ παρειμένα.

Τιμάνδρᾳ. lxiiii

Τῆς ἐν Καμαρίνῃ πολιτείας κατ' ἐμοῦ, μὴ πεπεισμένη τῶν
Καμαριναίων μέγαν ὑπὲρ μικρᾶς αἰτίας ἐπαίρεσθαι
πόλεμον, νῦν μὲν ἴσως παραμυθίαν ἔχεις, τὸ κατ' ἐμοῦ στρα-
τείαν ἀγείρειν. ὅταν δὲ τὸ κοῦφον ἐπιλίπῃ σε τῆς τεθείσης ἐλπί-
δος, τότε κατὰ τὴν ἀξίαν, οὐχ ὧν δέδρακας, ἀλλ' ὧν πέπον-
θας ἀνιάσῃ. καίτοι τί σοι ὄφελος εἰς παραμυθίαν. εἰ μὲν γὰρ ἐ-
μελήσαμεν πεῖσαι, ὥσπερ ἐκπέπληξαι σύ, τάχα ἄν τινος εἶ-
χου λόγου διὰ τὸν ἐμὸν φόβον. νῦν δὲ εἰς τἄλλα μὲν, οὐδὲ ὅσον
ἡμᾶς ἐλύπησας. σὲ δὲ τὸ, μηδὲ ἐναρμόσαι σεαυτὸν, τῶν παρ' ὑμῖν
ἀπολέσθαι βασκανισκείῳ. οὐδεμιᾶς γάρ σοι δεῖ τελευτῆς, ἐπὶ τοι-
αύταις

αὐτοῖς κολαζομένῳ συμφοραῖς, ἀλλὰ καὶ τὴν κατὰ φύσιν ζωῆς εἰ οἷόν τε μακροτέρου βίου.

## Μελιταίοις. lxv

Ὑπέπεισμαι πρεσβεύσασιν ὑμῖν δανεῖσαι χρήματα. καίπερ πρὸς τὸ παρὸν, οὐκ ἀφθόνως ἔχων, διὰ τὸ συνεχῶς εἰς πολέμους ἀνηλωκέναι. ἀλλὰ προφάσεως οὐ φασι δεῖ πρὸς φίλους. πάθητε δὲ οὐδὲν ὅμοιον τοῖς πολλοῖς, οἳ δανειζόμενοι μὲν τοῖς εὐφημοτάτοις ὀνόμασιν ἀποχρῶνται. ἀπαιτούμενοι δὲ, τοῖς χαλεπωτάτοις ἔργοις, οὔτε δίκαιον, οὔτε εὐχάριστον κρίνοντες. δεῖ γὰρ λαβόντας, μεμνῆσθαι τῶν δεδωκότων, καὶ μέχρι τῆς ἀποδόσεως ὁμοίως ἡγεῖσθαι τοῖς δεδανεικόσι. καὶ εἴτε χρηστός εἴη, ὡς χρηστῷ διαλύεσθαι. εἴτε καὶ φαῦλος, ὡς φαύλῳ. καὶ γὰρ ἐπιεικεῖ καὶ μὴ τοιούτῳ, δίκαιον ἀποδοῦναι τὸ πεπιστευμένον. ἐγὼ μὲν οὖν ὦ μελιταῖοι, καὶ ὅταν δανείζω, καὶ ὅταν ἀπαιτῶ, εἷς εἰμι, καὶ ἑκατέρου παραπλήσιος. οἱ δανειζόμενοι δὲ πρὸς τοὺς καιροὺς καὶ τὸν τρόπον, ὥσπερ φασὶ τοὺς χαμαιλέοντας τὰ χρώματα πρὸς τοὺς τόπους, ἀλλάττουσιν. καὶ λαμβάνοντες μὲν, ὡς εὐεργέτην καὶ θεὸν ἐπαινοῦσιν. ἀπαιτούμενοι δὲ, ὡς τύραννον, καὶ οὐ καθαρὸν ἀποκαλοῦσιν. οἶδα δὲ καὶ τοῦτο, ὅτι πολλῷ κρεῖττόν ἐστιν, ἰδιώτῃ δανείσαντα χρεωκοπεῖσθαι, ἢ πόλει. ὑπὸ ἰδιώτου μὲν γάρ τις ἀποστερούμενος, ἐχθρὸν ἕνα κέκτηται, καὶ τοῦτον ἀσθενῆ. ὑπὸ δὲ πόλεως, ζημιοῦται μὲν οὐδὲν ἧττον. ἐχθροὺς δὲ τοὺς πολλοὺς ἔχει, καὶ οὐχ ἕνα. οὐ μὴν καταγνοίην ὑμῶν τοιοῦτόν τι. ἀλλ' ἀνυπόπτως δίδωμι τὰ χρήματα. τά τε γὰρ ἄλλα μνήμονας ὑμᾶς ἐπίσταμαι, καὶ περὶ τὰ συμβόλαια δικαιοτάτους. καὶ πρὸς τοῖς ἄλλοις οὐδὲ τοῦτο ἀγνοοῦντας, ὅτι κατηγορία μᾶλλόν ἐστι πολλῶν, ἀδικεῖν ἕνα, ἢ ἑνὸς ὑπὸ πολλῶν ἀδικεῖσθαι. οὐ γὰρ εἰκὸς ἕνα πολλῶν, πολλοὺς δὲ ἑνὸς καταφρονεῖν, ἀλογώτερον.

no admodum diues

chamaelion

cuius nos criminis damnare nolim

Οὐκ ἠγνόουν, ὅτι πέμψαντός μου τοῖς παρ' ὑμῖν θεοῖς ἀνα-
θήματα, τρίποδάς τε δελφικοὺς, καὶ στεφάνους χρυσοῦς, καὶ
ἄλλα πολλὰ, καὶ πολυτελῆ χαριστήρια τῆς σωτηρίας, δυοῖν θάτε-
ρον ποιήσετε, ἢ τοῖς θεοῖς ἀσεβοῦντες ἀναθήσετε, ἢ τούτοις ἀπο-
στεροῦντες, αὐτοὶ διανεμεῖσθε, ὅπερ δεδράκατε. προσποιησάμε-
νοι γὰρ ἐμοὶ λοιδορεῖσθαι, ὡς τῶν ἀναθημάτων διὰ τὸν κτησάμε-
νον οὐ καθαρῶν ὄντων, τοὺς θεοὺς ἱεροσυλήκατε. τί γὰρ διαφέρει
τὰ καθωσιωμένα πειρασάσαντας ἀπενεγκεῖν, ἢ τὰ κατωνομασ-
μένα τοῖς θεοῖς. ἐκείνων γὰρ ἀμφότερα ἦν, καὶ οὐ τῶν πεμψάν-
των. ἡ μὲν οὖν παρ' ἐμοῦ χάρις εἰς τοὺς θεοὺς, καὶ ἡ παρ' ὑμῶν ἀ-
σέβεια, παντελής ἐστι. καὶ γὰρ ἐμὲ τὸν δεδωκότα, καὶ τοὺς ἁρπάσαν-
τας ὑμᾶς, ἴσασιν. ἀρκεῖ δέ μοι τὸ, τῶν θεῶν οὐ λαβόντων, ἐναγεῖς
ὑμᾶς ὁρᾶν γεγονότας, τῇ τῶν ἱεροσυληθέντων ὀργῇ. σὺν γὰρ τοῖς
ἄλλοις, δι' ὧν καὶ τὸ κέρδος ἡγήσασθε, προσωμολογήκατε μηδὲν
εἶναι μυσαρὸν τῶν ἀπεσταλμένων, εἰ μὴ τὰ αὐτὰ κειμήλια, δι-
τὰς ἔχει τύχας. ἂν μὲν ὑμεῖς αὐτὰ διανέμησθε, τὰς ἀμείνους.
ἂν δὲ τοῖς θεοῖς κομισθῶσι, τὰς χείρους. πρὸς δὲ τούτοις, ἑαυ-
τοὺς ἐλέγχετε περιφανῶς ἠσεβηκότας. οἱ μὲν γὰρ ἄρχοντες, τοῦ ψη-
φίσασθαι πολέμια εἶναι τὰ χρήματα τὴν αἰτίαν ἐπὶ τὸν δῆ-
μον ἀναφέρουσιν. ὑμεῖς δὲ ὁ δῆμος, ἐπὶ τοὺς ἄρχοντας. καὶ τὸ
πάντων δεινότατον, τοὺς μὲν θεοὺς ὡς κακοὺς ἀνθρώπους προ-
δότας ἂν γενέσθαι λέγετε, εἰ δῶρα παρὰ τυράννου λάβοιεν. τοὺς
δὲ πολιτευομένους ἀγαθοὺς παρ' ὑμῖν, οἳ δὶς καὶ οὐχ ἅπαξ μεσσή-
νην, ὡς ἀκεράζαντά μοι ὑπὸ χεῖρα πεποιήκεσαν, εἰ χρήματα αὐ-
τοῖς αὐτοῦσι προείμην, οὐ κολάζετε. τὸ δ' αἴτιον, ὅτι κοινωνεῖτε
τῆς αὐτῆς προαιρέσεως. καὶ οὐ δύνασθε τοῖς αἰτίοις ἐλευθέρως ἐπεξελ-
θεῖν. πάντες γὰρ ἔνοχοι δωροδοκίας εὑρεθήσεσθε. οὐ μὴν, ἀλλ' ἐ-
γὼ μὲν, ἵνα μὴ δοκῶ περὶ τῶν ἀναθημάτων λέγειν, μήτε παρ'

ἐμοὶ μεμενηκότων, μήτε τοῖς θεοῖς ἀνατεθειμένων, οὐδεμίαν ποιήσομαι φροντίδα. μετελεύσονται δὲ ὑμᾶς ἀξίως τῶν τετολμημένων, οἱ σεσυλημένοι, καὶ περὶ ὧν εἰς αὐτοὺς ἠσεβήκατε. ἔρρωσθε. τὸ δὲ ἔρρωσθε διπλῆν παρέμφασιν ἔχον, ἀγαθοῦ, καὶ κακοῦ, μὴ ἀγνοεῖτε ὅτι πρὸς τὸ χεῖρον γέγραπται.

Τιμώνακτι. lxvii

ν Ενίκηκα τῷ πολέμῳ Λεοντίνους. ἵνα δὲ τῆς λύπης διαρκέσῃς, καὶ μὴ πάντων ἀθρόως ἀκούσας ἀποκαρτερήσῃς, οὐκ ἔγραψά σοι περὶ τῶν ὅλων, ὅτι καὶ Ταυρομενίτας, καὶ Ζαγκλαίους, συμμαχήσαντας αὐτοῖς, εἰς τέλος νενίκηκα. οὐδ᾽ ὅτι λαβὼν ὑπὲρ τῆς ἀφέσεως τῶν ἑαλωκότων, τάλαντα ἑκατὸν, ἀπελύτρωσα τοὺς αἰχμαλώτους. οὐ γὰρ ἐβουλόμην διὰ τὴν ὑπερβάλλουσαν τῶν ἀτυχημένων μοι προσαγγελίαν ἀπολουμένου σου, τὸν οὐκ ὀρθῶς ὄντα δοκεῖν ἄνθρωπον ἀνῃρηκέναι

Ἱέρωνι. lxviii

π Ολλὰ λέγειν ἔχων, καὶ περὶ σοῦ, καὶ περὶ ἧς κατ᾽ ἐμοῦ πεφλυάρηκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἐρῶ περιοσσότερον, πλὴν ὅτι κώνωπος ἐλέφας ἰνδὸς οὐκ ἀλεγίζει.

Ἀρισταινέτῳ. lxviiii

ὁ Υ λυπεῖ με τὸ γῆρας. οὐ γὰρ ἡ τῆς τυραννίδος ἰσχὺς γεγήρακεν, ἀλλὰ Φάλαρις. λυπεῖς δέ με σύ, λίαν ὑπερφοβούμενός μου. τὸ γὰρ εἱμαρμένον ἥξει, κἂν Ἀρισταίνετος, μᾶλλον ἢ δεῖ φοβηθῇ. πολλῷ δὲ κρεῖττόν ἐστι, μὴ δεδοικότα παθεῖν τὸ μέλλον δεινόν, ἢ δεδοικότα. ἵνα σοι καὶ μετὰ παραδειγμάτων ποιητικῶν ἐπιστέλλω.

Ἱμεραίοις. lxx

ἡ Μῖν μὲν ὦ Ἱμεραῖοι, τὴν γνώμην τὴν ἑαυτῶν, καὶ σφόδρα δήλην ἐποιήσατε, ὅτι ὑμῖν οὐδὲν διαφέρειν ἡγεῖσθε, Φάλαριν ἐχθρὸν, ἢ φίλον εἶναι. τὸ θεῖον δὲ καλῶς ἐκρίνετε,

καὶ πείθομαι ὅτι, ἔχω ἰσχυρὸν παρ' αὐτοῦ σύμβολον, τοῦθ' ὅτι καὶ τἄλλα χωρήσει μοι κατὰ νοῦν. ἐγὼ δὲ Κόνωνα μὲν ὥσπερ καὶ πρότερον ὑμῖν ἐπέστειλα, ἀποσφάξαι αὐθέως ἐκέλευσα, εἰδὼς πονηρὸν ὄντα, καὶ οὐδὲ γονεῖς αὐτοῦ, οὐδὲ συγγενεῖς τῇ πόλει ὄντας. Δρωπίδην δὲ ὑμῖν ἀπέπεμψα, τιμήσας ὡς ἐχρῆν. οὔτε γὰρ πονηρὸς ἡμῖν, οὔτε ἠδικηκὼς ἡμᾶς οὐδέν. περὶ δὲ σιτοχόρου βουλευσόμεθα.

Νεολαΐδῃ. lxxi

Οὐδὲν ἄχαρι βούλομαί σε παθεῖν ἀπ' ἐμοῦ. πλείω γὰρ αὖ εἴσεισι τὰ ἀγαθὰ πεπραγμένα τῶν χειρόνων. διὸ καὶ τοῦ τοσούτων βελτιόνων ἐν γινέσθω, τὸ μὴ προσαναγκάζειν με, τῶν χαλεπωτέρων τῆς ψυχῆς τι σου χρήσασθαι πάθει.

Μνησικλεῖ. lxxii

Τῆς μὲν ἀτυχίας, ὡς μάλιστα συνήσθημεν, ἀκούσαντες, εἰ καὶ σφόδρα σοι βουλομένῳ υἱὸν ποιήσασθαι, θυγάτηρ ἐγένετο. καὶ νομίζομεν αὐτὴν τοσούτῳ ποθεινοτέραν ἔσεσθαί σοι, καθόσον ἀντὶ υἱοῦ γέγονεν. πέφυκε γὰρ θυγάτηρ μᾶλλον ἀρσένων παίδων, περὶ πλείστου ποιεῖσθαι γονέας. τὰς δὲ δωρεὰς τὰς παρ' ἡμῶν, τότε αὖ ἀσμένως δόξεις λαμβάνειν, ὅταν μὴ μόνον ἃ πέμπομεν προθύμως ἀποδέχῃ, ἀλλὰ καὶ ὧν δεῖ σοι ἀγνοούντων ἡμῶν, ἐπιστέλλῃς. δεῖ δέ σοι καὶ πλειόνων ἤδη νυνὶ, καὶ πολυτελεστέρων διὰ τὴν θυγατέρα.

Ἀλκάνδρῳ. lxxiii

Μήτε σὺ, μήτε ἄλλος ἀνθρώπων μηδεὶς, ἐμὲ καταδείσειν λόγοις μὴ ἴσως οἰέσθω, κἂν μηδὲν εἴπω, ἀλλὰ μηδὲ ἔργοις ἐλπιζέτω. καὶ πολέμων γὰρ ἔμπειρος ὢν, καὶ ὅτε ἐπάγειν, ὅτε παρὰ δύναμιν θρασυνόμενος, καὶ τοὺς καιροὺς, ῥοπὰς αἰσχροφθοὺς καὶ ἑτεροκλινεῖς εἰδὼς ἔχοντας, ἔτι δὲ τὰς τύχας ἀβεβαίους, εἰπεῖν μᾶλλον ἱκανώτερος πεφυκὼς ἢ ἀκοῦσαι, θαρρῶ μὲν ἐπὶ μαν-

τῷ

τῷ, ὅσον οὐδεὶς τῶν ὄντων. πιστεύω δὲ τῷ δαίμονι, πρὸς μηδένα τῶν ἀδικησάντων ἔλαττον σχήσειν. ἔχω γὰρ παρ' αὐτοῦ πίστιν ἰσχυρὰν, τὸ πάντας ὑφ' ἡμᾶς ποιῆσαι τοὺς ἐπιβουλεύοντας.

Στησιχόρῳ. lxxiiii

ά Κούω σε καὶ εἰς ἀλόντιον παρεληλυθέναι, καὶ εἰς ἄλαισαν. καὶ χρήματα ἀγείρειν. καὶ στρατιώτας παραλαμβάνειν, πέμπειν τε εἰς τὰς πόλεις, καὶ ταῦτα συντάττειν ἐφ' ἡμᾶς. οὐκ ἄρα στησίχορε παύσῃ τῆς ἀκρασίας, τοῦ πολιτεύεσθαι τηλικοῦτος γέρων; οὐδὲ αἰσχύνῃ τὰς θεὰς, ὧν ζηλωτὴς μὲν εἶναι προσποιῇ, λυμαίνῃ δὲ αὐτὰς, ἐν οἷς πολιτεύῃ πρὸς ἄνδρας ἀμείνους; οὐδὲ ἐλεεῖς τοὺς παῖδας, οὐ πολὺ ἀποδέοντας ἄνδρας εἶναι ἤδη; ἀλλὰ προπετὴς εἶ ἀκμὴν, γέρων ὢν στρατιώτας ἔχειν; καὶ χρήματα ἀγείρειν ἐθέλων, μέλλων αὐτοῖς ἐχθρὸν ἐπιτειχίσειν οὕτω βαρύν; οὓς αὐτοὺς ἐκτρίψω ἐπί τινος δίκην. καὶ τοὺς μὲν τῶν ἀχαιῶν νόστους πυνθάνομαί σε συγγράφειν, καί τισι τῶν ἡρώων ἐκείνων, ἀβουλίαν ἐπιτιμᾶν ἱκανῶς. ὅπως δὲ αὐτὸς ἀπονοστήσῃς ἀπαθὴς ἐξ ἀλαίσης εἰς ἱμέραν οὐδὲν φροντίζεις; ἀλλὰ ἴσθι, ὅτι μένουσί σε καὶ αἱ καφηρείδες πέτραι, καὶ πλαγκταὶ, καὶ χάρυβδις, καὶ ὁ ναύπλιος στόλος. καὶ οὐκ ἂν ἐκφύγῃς ὅλως τὰς ἐμὰς χεῖρας, οὐδ' ἂν εἰ θεός σέ τις καθ' ὑμᾶς τῶν ποιητῶν ἀϊστώσῃ.

Ἱμεραίοις. lxxv.

ά Πεπύσμην στησίχορον ὦ ἱμεραῖοι, παρέντες αὐτῷ τῶν πεπολιτευμένων πρὸς ἡμᾶς τὰς αἰτίας, οὐδ' ὑμᾶς ἀξιοῦντες, ὡς ὑμῶν γεγενημένα, καὶ ἀπωλώλει πολλάκις, οὐχ ἅπαξ. ἀλλὰ ταῖς θεαῖς αὐτὸν ἀφήκαμεν, αἷς ἐστι κάτοχος, καὶ ὅσοι ἔχουσι τὴν ἱμερίδα γῆν, θεοί τε, καὶ ἥρωες. οὐδὲν γὰρ ἔχω ἐκείνοις ἐγκαλεῖν, εἰ καὶ ὑμῖν πάνυ πολλά. καὶ αὐτοὶ δὲ ὑμεῖς ἴστε, οἷα ἐπεχείρησε ποιῆσαι κακά. ἀλλ' ᾐδέσθην ἱερὸν ἄνδρα, καὶ τὴν σοφίαν τὴν κλεᾶ, καὶ ταῖς μούσαις ὡς ἀληθῶς κατεπεπιστευμένον, συγκατατάξαι τῷ πόρνῳ, καὶ βδελυρωκόμωνι, καὶ βιάσασθαι ἀποθα-

νεῖν. ὡς εἴθε γε καὶ τὴν μοῖραν ἐπέχειν τοιούτων ἐνῆν. καὶ ὑμῖν
δὲ ἐπισκήπτω λιπαρῶς, ὡς οἷόν τε ὦ Ἱμεραῖοι, μὴ καταστρέφειν
αὐτόν, εἰς ἐμμέλειαν, καὶ ἀποδεδωκότων ἐχόντων αὐτοῦ πολιτεύμα-
τα. καὶ γὰρ οὗτος δὲ αὐτὸς ἑκὼν παραδίδωσιν ἑαυτόν, ὡς πυνθάνο-
μαι παρὰ τῶν εἰς Ἄλαισαν ἀφικνουμένων. ἀλλ᾽ ἥκιστα οὖν τῆς
ὑμετέρας ἀγνωμοσύνης καὶ βίας· παύσασθε, οὐ βιαζόμενοι
αὐτόν, κεχρῆσθαι τοῖς αὐτοῦ ἐπιτηδειοτέροις. Στησίχορον δέ, ἂν ἐθέλῃ εἶναι
καὶ σχολάζειν πρὸς τῇ λύρᾳ τῇ ἑαυτοῦ, ἄφετε. καὶ μὴ ὁμοίους
ἐμοὶ ἐχθροὺς αὐτῷ κατασκευάζετε. οὐχ ὁμοίως ἴσως αὐτῷ προ-
σοισομένους. εἰ δὲ δεῖσθε πάντως τῶν προσπολιτευομένων, προχει-
ρίσασθε τοιούτους ἑτέρους ἐξ ὑμῶν τινάς, οὓς ἐγὼ λαβών, ὡς
ἄν μοι φίλον ᾖ, καὶ πρὸς ὑμᾶς τύχω γε χαιρόμενος, μετ᾽ οὐδε-
μιᾶς δεισιδαιμονίας καταχρήσομαι.

Στησιχόρῳ  lxxvi

τ Υραννοῦμεν ὦ Στησίχορε. οὐχ Ἱμεραίων, ἀλλὰ Ἀκραγαν-
τίνων. ὥστε σοι πολλὴν εἰδέναι χάριν, ὅτι ἀφελόμενος
ἡμᾶς ἐλάσσω ἀρχήν, τὴν μείζω δέδωκας. ἄμεινόν τοι ἴσθι, ὅτι
καὶ οἱ ἐν Ἀκράγαντι ἄρχοντες τοὺς ἐν Ἱμέρᾳ ἐχθροὺς ἀμύνε-
σθαι δυνησόμεθα.

Αὐτονόῃ.  lxxvii

ε Πεμψά σοι τὸ ἀργύριον, οὐδ᾽ ὅσον ὑπαναβαλλόμενος.
μετὰ τὸ λαβεῖν τὰ γράμματα. νομίζων οὐ χάριτος εἶναι
ne tantillu qde differens τὸν καιρόν, ἀλλὰ τάχους. βία μὲν οὖν τάλαντα ὡς ἠξίους ἐπι-
δώκαμεν, ὅπως τὴν κατατεθειμένην ὑπὲρ τοῦ παιδὸς ζημίαν λύ-
σῃς τὰς φυγὰς αὐτοῦ, καὶ μὴ ἐπὶ πλεῖον ἀλητεύῃ. πεῖρα γὰρ οἶδα-
μεν τὴν τοῦ φεύγειν ἀτυχίαν, ὅσον ἐστὶ κακόν. βία δὲ παρ᾽ ἑαυ-
τῶν ἀπεστείλαμεν, ἵνα τὰ δημιόπρατα τῆς οὐσίας παραλάβῃς. πα-
ραινῶ δὲ τοῦ λοιποῦ τῷ κληθέντι, πολιτείας ἀπέχεσθαι, καὶ μὴ
τοιαύτας αἱρεῖσθαι πραγματείας, ἐν αἷς αἱ μὲν ὠφέλειαι πά-
σης γίνονται τῆς πόλεως. αἱ βλάβαι δέ, ἴδιαι τῶν προεστηκότων. καὶ εἰ

τὰ οἰκεῖα, μηδ᾽ οἷά τε σωφρονίζειν ἑαυτόν, τοῖς ἐμοῖς παραδείγ-
μασιν ἀνεπιτιαδοῦ πρὸς μηδὲν ὄντος, χρήσθω. ὅτι καὶ γὰρ διὰ πο-
λιτείας ἄνοιαν ἐκπεσὼν τῆς πατρίδος, οὐδὲ τύραννος ὢν ἴσχυκα
κατελθεῖν. οὐδὲ μὴν δὲ τερπνὸν οὕτως ἡγοῦμαι τῆς ἀρχῆς, ὡς ἀνιαρὸν τὸ
φεύγειν τὴν πατρίδα. ταῦτα δὲ ὑμῖν ἐπιστέλλω μὰ τοὺς θεούς, οὐκ
ἐφ᾽ οἷς δέδωκα ἀλγῶν, ἀλλ᾽ ἐφ᾽ οἷς πέπονθά τε ἀνιώμενος. οὐ
δι᾽ ὅπως μὴ πάλιν ποτὲ δῶ, ἀλλ᾽ ἵνα ὑμεῖς μὲν, εἰς μηδὲν κα-
κὸν ἀξιώσητε λαβεῖν. ἐγὼ δὲ εἰς τὰς τυχίας αἰτούμενος ὑπὸ τῶν
οἰκειοτάτων, καὶ προθυμότερον, καὶ πολυτελέστερον χαρίζομαι.

Νικοφήμῳ. lxxviii

ὁ Υς ἐν Λεοντίνοις κατελέγου δημαγωγῶν, κατοικισθέν-
τας ἀπολέσθαι οἰκτίστως, ἐπιβουλεύσαντας ἀπωλέσαμεν.
καὶ οὐδὲ τοῦτο αἰσθάνῃ, ὅτι τοὺς ὑπὲρ μου τιμωρηθέντας παραφέ-
ρων, οὐ μόνον αὐτὸς ἐπιβουλεύεις ἐμοί, τοιαῦτα ἔχων παραδείγ-
ματα, ἀλλὰ καὶ Λεοντίνους πολεμεῖν ἀναγκάζων, ὀκνηροτέ-
ρους ποιεῖς. ὅτι πρὸς τοιοῦτον ἐχθρὸν ἀδικοῦντες, πολέμου ἄρξου-
σιν. ἀμήχανον γὰρ τὸν αὐτὸν καὶ μισεῖσθαι διὰ χαλεπότητα, καὶ
καταφρονεῖσθαι ἐπὶ μαλακίᾳ, εἴπερ ἀπέβη τὸ δόξαν. ἐπὶ τοιού-
τοις γὰρ ἄθλοις, οὔτε φθονοῦμεν ὑμῖν, οὔτε ἀποσυμβουλεύομεν
φιλοτιμεῖσθαι.

Λυσίνῳ. lxxviiii.

ὁ Υ παύσῃ τῆς ἀβουλίας ἀμαθέστατε Λυσῖνε; οὐδὲ φείσῃ σε-
αυτοῦ ἑξήκοντα ἔτη γεγονώς, βαροτέρους ἐχθρούς, ἢ δυνή-
σῃ, μετὰ πολλῶν ἄλλων τούτων φέρειν πειρώμενος, ἀλλ᾽ ἔπη, καὶ
ῥαψῳδίας εἰς ἐμὲ γράφεις, ὡς ἀνιώμενον; τὰ δὲ ἀποτελέσμα-
τά σοι, δεινότερα πάσης ῥαψῳδίας φυλάξει μὴ γίνεσθαι.

Ἐπιχάρμῳ. lxxx

ἀ Ρκεῖς μόνος δίκαιος ἡμᾶς νομίζων, κἂν μηδεὶς ἄλ-
λος λέγῃ, τί σοι πείθηται. εἷς γὰρ ἀνὴρ ἐμοὶ τοιοῦ-

τος, ἁπάσης ἐστὶ σικελίας μέσον. τὸ δὲ ἀνεξέταστον πλῆθος, ἐρημίας ὑπειλήφαμεν ἀναπλήρωμα. ὑφ᾽ οὗ καὶ τὸ ἀγνοεῖσθαι καὶ μὴ χρηστοτέρους δοκεῖν οὐκ ἐσμὲν, τάχα οὐκ ἀνωφελές. πολλοὺς μὲν ἔχεις ὁμοίους σεαυτῷ. τὴν γὰρ ἀρετὴν τῶν ὄντων, οὐ τὸν ἀριθμὸν σκοπούμεθα, μεθ᾽ ὧν ἔγνωκας ἡμᾶς καλοὺς κἀγαθούς. εἰ μέν τοι καὶ μόνος ἦσθα, ἐπλουτοῦμεν μαρτύρων. καὶ πλειόνων οὐ προσεδεόμεθα ἐπαίνων.

Κέβρωνι. lxxxi.

τ Ἴδη ποτε θαυμάζοντές με τῶν τρόπων, ὡς δειναῖς χρώμενον αἰκίαις, τοὺς ἐπιχειροῦντας ἐξ ὑμῶν τούτοις οὐκ ἐκπέπληχθε, ἀλλὰ τὰς μὲν τύχας ὀλοφύρεσθε τῶν τιμωρηθέντων συμβούλους δὲ αὐτοὺς οὐ ποιεῖσθε μὴ ἀδικεῖν Φάλαριν. ἀμύνομαι μὲν οὖν κἀμοὶ τῶν, μὴ καθίστασθαι εἰς τοιαύτης ἀμύνης ἀνάγκην. λυσιτελέστερον δὲ ὑμῖν, τὸ μὴ χρῆσθαι προπετείᾳ κατὰ πάντα. ἔπειτά τε, ὡς ἐμοὶ ὁ τρόπος ἀγνοουμένῳ, τί ποτ᾽ ἂν ἐπράξατε, εἰ μὴ τοιοῦτος ἐγενόμην ἔργοις περὶ τὰς τιμωρίας, ὁπότε μηδὲν ἐλπίζοντες μέτριον, ἐμπαραβάλλεσθε αὐτοῖς. ἔστιν οὖν ἐμὲ παύσασθαι τῆς ὠμότητος, ἐὰν αὐτοὶ πρότερον παύσησθε ἀδικίας.

Εὐκτήμονι. lxxxii.

ο Υ̓δὲν ἔψευσαι τῶν ἐπ᾽ ἐμοὶ διαβολῶν. καὶ γὰρ αὐτὸς πάνθ᾽ ὡς κατηγορεῖς, ἐν συρακουσίοις, ὁμολογῶ. ἀλλ᾽ εἰ τὸν αὐτὸν τρόπον ἔργῳ τε τοῦ τιμωρεῖσθαι τοὺς εἰς ἐμαυτὸν ἁμαρτάνοντας, οὐκ ἐφ᾽ οἷς εἰκὸς τὸν παθόντα συγγνῶναι ἐφειδόμην, καὶ ὑμεῖς τοῦ πρόσθεν τρόπου οὕτως, κἀμοὶ καὶ ἑαυτοῖς ἀνήκεστα ἐπιβουλάζειν, οὐδεὶς ἂν, οὔτε ἐμοῦ κατηγόρησεν, ὡς ἔκθεσμα δρῶντος, οὔθ᾽ ὑμᾶς ὡς αἰτίας παράσχοντας ᾠκτίζετο.

Κλεοβούλῳ. lxxxiii.

ο Υ̓πείθονταί σοι καμαριναῖοι τὸν πρὸς ἐμὲ πόλεμον ἐξενεγκεῖν, σφόδρα πολλὰ ἑκάστης ἐκκλησίας κρίνοντι. καὶ

λοῦς γὰρ ἴσασι πόλεμον ἔργοις οὐ λόγοις δημηγόρων κατορθού-
μενον. ὥστε εἰ βούλει πολεμεῖν αὐτούς, τὰ ἀποτελέσματα δεῖ-
ξον τῇ γνώμῃ συνοίσοντα. ἂν μέντοι μὴ δι' οὗτος ὑπακούσωσι,
μεταβαλλόμενος τἀναντία παραίνει. καὶ τάχα ἂν τούτῳ περιε-
γένοιο τῷ τρόπῳ, ὧν βεβούλησαι. δυοῖν γὰρ θάτερον ἐν τῷ παρόντι,
ἢ τὴν γνώμην ἀσύμφορον, ἢ τὸν συμβουλεύοντα, οὐδενὸς ἄ-
ξιον ἡγοῦνται. ἐγὼ μὲν γὰρ οἴομαι ἑκάτερα. ὦ μέντοι ἴσθι καὶ τὰ
ἐνθάδε, ὡς οὐ λόγοις ἀπράκτοις ἀμυνούμεθά σε, οἷς εἰς ἡμᾶς
ἄρχειν δοκεῖς ἀδικίας, ἀλλ' ἔργοις. ὧν οἱ πειραθέντες, οὐκέτι
αὖθις ἐπεβούλευσαν. ταῦτα εἰδότες καμαρειναῖοι, οὐ βούλον-
ται πεῖραν λαβεῖν ὀργιζομένου Φαλάριδος. χαριζόμενος γὰρ
αὐτοῖς, ἡδίων ἔδοξα.

Κλεοδίκῳ. lxxxiiii

π ολὺ δεινὰ βεβούλευσαι κατ' ἐμοῦ κλεόδικε, παρὰ τὴν ὑ-
πάρχουσαν δύναμιν. πόθεν γάρ σοι τὸ ἐλπίσαι, κακῶς ποι-
ῆσαι Φάλαριν χαριουμένῳ τῇ τοῦ θρακὸς τοῦ βυρσοδέψου θυγα-
τριδῇ. αὐτάνδρου δὲ γυναικί, τοῦ δεσπότου ἑαυτοῦ κτείναντος. ἐξ
ὧν οὕτω πλουτῆσαι αὐτῷ συνέβη, καὶ παρὰ τοὺς τῆς φύσεως νόμους ἐ-
νυβρικότι. οὐ μὴν εἰς τοῦτό γε προαχθήσομαι τῆς ὀργῆς, ὥστε τὰ σοὶ
πεπραγμένα λόγῳ διεξελθεῖν. ἐὰν γάρ σε ἄξιον ἀμύνης ἡγη-
σώμεθα, οὐκ ἐν λόγοις βουλησόμεθα μόνον, ἀλλ' ἐν ἔργοις δυνησό-
μεθα, ἅπερ εἰς ἡμᾶς ὠρέχθης ἐξαμαρτάνειν, εἰς κεφαλὴν
σοί τε καὶ τῷ σῷ γένει τρέψαι.

Τοῖς στησιχόρου παισίν. lxxxv

τ οῦ μὲν πένθους, τίνα αὖ τις ἄλλην ἱκανωτέραν ὑμῖν πα-
ράκλησιν εἰσενέγκοιτο παῖδες, ἢ τὴν ἀρετὴν τοῦ γονέως.
ἐφ' ᾧτε τὸ πένθος φέρεσθε. οὐ γὰρ δακρύεσθαι τὰ στησιχόρου πρέπον,
ἀλλ' ὑμνεῖσθαι. καὶ καθόλου μὲν, οὐκ ἂν ἐβουλόμην ὑμᾶς, οὔτε
θρήνους, οὔτε αἰκισμοὺς προΐεσθαι σωμάτων, οὐχ ὅτι οὐ κοινὰ ταῦ-
τα πάθη κατηναγκασμένα παρέπεται πᾶσιν, ἀλλ' ὅτι τὰ τοι-

αὐτὰ ἀνθρώποις ἐστὶν ἁρμοστὰ δυστήνοις· ὧν οὐχὶ τελευτὴ τὰς ὀλοφύρσεις προσηκούσας, ἀλλ' ὁ βίος ἔχει· μᾶλλον δὲ τούτοις ἐστὶ δακρύων ἄξιος ὁ θάνατος, οὐ Στησιχόρῳ, ζήσαντι μὲν ἔτη ταῦτα, σὺν ταῖς ἁγιωτάταις θεαῖς, ἐν χοροῖς, καὶ μέλεσι μουσῶν· ὀνομασθησομένῳ δὲ ἐπὶ τιμαῖς καὶ στεφάνοις· ὁμολογουμένως γὰρ. οὔτε παρ' ἡμῖν, οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις μεῖζον· ἡ γὰρ ἀθάνατος τοῦ θεοῦ μοῖρα, πρὸς τὸ πᾶν οὖσα, αὕτη, καὶ οὐκ ἔχει πέρας τίς ἔμοιγε εἶναι δοκεῖ· ὥστε ὦ παῖδες μεγάλου καὶ ὑπερφυοῦς πατρὸς, φρονήσατε μὲν ἄξια τοῦ τεκνώσαντος· οὐ γὰρ μικρὸς ὑμῖν ἀγὼν, μὴ πολὺ καταδεεστέρους ἐκείνου ὑμᾶς γενέσθαι. πενθεῖτε δὲ μηδαμῶς αὐτοῦ τὴν μοῖραν ἥρωος, οὐχ ἑνὶ μακαρισθησομένην χρόνῳ· παντὶ δὲ αἰῶνι· μηδὲ τῶν τιμῶν, ἃς ψηφίζονται ὡς ἐπὶ θεῷ Ἱμεραῖοι, τὸ λαμπρότατον ὑφαιρεῖσθε τὴν δόξαν. οὐ γὰρ ἐκεῖνός γε, ὃν ἡμεῖς ἴσμεν, ἠχθέσθη θανάτου προθεσμία συναιρούμενος. οὐδὲ τῶν ἡρώων τοὺς γενναιοτάτους, ἐπεὶ περὶ δόξης ἔθνησκον, ἐν τοῖς καλλίστοις χρήμασιν ὑμνήσας, ἅπερ ὑμῖν, χρήματα μὲν τοῦ παντός ἐστιν ἄξια· παραδείγματα δὲ βίου σωφρονέστατα, αὐτὸς, ὁπόθ' ἧκεν ἡ μοῖρα πρὸς τὸ πέρας, ἀποίκτως ἔθνησκεν. αὐτοὶ γὰρ ἴστε ὦ παῖδες, οὐ γὰρ ὑφ' ἡμῖν γενόμενος, ἐχθροῖς οὐ συνέδεισεν· οὐδὲ ὡς δεινόν τι πείσεσθαι μέλλων ἐπεκλάσθη. πολὺ δὲ γενναιότερος αἰχμάλωτος ἡμῖν ἦν, ἢ ἀντίπαλος· ἡττήθη γοῦν τὰ πικρὰ τῆς τυραννίδος ὑπὸ σοφίας, οὐδ' ὁτιοῦν ἔχοντός μου δρᾶσαι κατ' αὐτοῦ δεινόν. ὃ γὰρ ἔδρων, ἐχαριζόμην· ἐγὼ δὲ μυρίοις πόνοις προθυμηθεὶς ἑλεῖν, ἐπεὶ τούτου περιεγενόμην, οὐδὲν ἔχων ἕτερον, αἱρεθεὶς ὑπὸ τούτου μᾶλλον, ἢ χάριν εἰδέναι, καὶ αὐτὸ εὐεργεσίας παρ' ἡμῶν ἐθελήσῃ λαμβάνειν. ἐφ' ᾧ οὐδὲ ὀφείλεσθαι χάριν ἐμαυτῷ νομίζω, περιποιησάμενος εἰς δώδεκα μάλιστα αὐτὸν ἔτη· τοσαῦτα γάρ ἐστιν, ἃ προσβεβίωκεν· ἐγὼ δὲ ὀφείλειν, ὅτι καὶ τὰ ἄλλα προσεπέρρωσεν ἡμᾶς, καὶ θανάτου καταφρο-

ὕβρισαι, μόνος ἀνθρώπων ἔπεισεν.

Καταναίοις. lxxvi.

Ὑ μεῖς μὲν ἴσως ἐμαυτὸν πλεονάζουσας δοκεῖτε κρινάς τε τινέων, ὧν εἰς ἐμὲ, ἐπεὶ τοὺς ἐμοὺς παρηνομήσατε, ἀντὶ μὲν ἀνδρῶν τριάκοντα, οὓς ἀσεβῶς κατεπυρπολήσατε, πεντακοσίους πολίτας ἀπολωλεκότες, ἀντὶ δὲ ταλάντων ἑπτὰ, ὧν διηρπάσατε, πλείστας ἀπεστερημένοι προσόδους. ἐγὼ δὲ προσοίμοι ὑμῖν, ὧν μέλλετε πάσχειν ὑπὲρ ἐμοῦ, τὰ νῦν γενόμενα καθάπερ ἐλάττω. ἵνα δὲ ἐμαυτὸν συμμαχήσαντα τοῖς ἐχθροῖς ὑμῶν πεπονθότες, ὁμολογεῖν αἰσχύνησθε. οὐ μὴν ἀνήσω τε τὴν πρὸς ὑμᾶς δυσμένειαν, ἕως ἂν ἡ διοικοῦσα πρόνοια, τὴν αὐτὴν ἁρμονίαν τοῦ κόσμου φυλάττῃ. ἐξοίσω δὲ τὸν πρὸς ὑμᾶς πόλεμον, οὐχ ὑπὲρ ἐμαυτοῦ τοσοῦτον, ὅσον ὑπὲρ θεῶν, τῶν πάντα καὶ σώζειν, καὶ φθείρειν δυναμένων, εἴτε θείας τύχης, ὥσπερ τὰ λοιπὰ τῆς φύσεως στοιχεῖα, καὶ τὸ κατὰ τὴν αὐτὴν πῦρ μεμοίραται, εἰς ὃ τοὺς ἱκέτας ἀθώους βαλόντες, οὐ Φάλαριν ἐχθρὸν, ἀλλὰ τὸν πάντων ἐπόπτην ἥλιον ἠδικήκατε.

Μεναινέτῳ, lxxvii

Τ ὸ πολλάκις ἴσως ἡμᾶς ἐπεσταλκέναι σοι περὶ, παῦσαι σε τῆς ἀφροσύνης, ἐπῆρκεν, ὡς οὐκ ἂν εἰ μὴ ἐδεδοίκειμεν, τὴν ἔχθραν ἀποστρέφειν παρεκελευόμεθα. ἐγὼ δὲ, περὶ τὴν τούτου γνώμην οὕτως ἔχειν, οὐδὲ γράφειν ἀξιῶ. πυνθανόμενος δὲ ἐπιεικῆ τὸν γέροντα εἶναι, καὶ μὴ δὲ ἑτέρους αὐτῷ γεγονέναι παῖδας, ἐκεῖνον μὲν ἐλεῶν, σοῦ δὲ, παρὰ ἡλικίαν θρασυνομένου φειδόμενος, τέως τοῦ παρόντος ἀνέσχηκα. σὺ δὲ, οὔτε πατέρα πρεσβύτην οἰκτείρεις, ἐφ᾽ ἑνὶ κινδυνεύοντι παιδὶ, οὔτε σεαυτοῦ φροντίζεις. ἐπιμένεις δὲ τῇ προπετείᾳ, πρῶτον μὲν τάχα, παρ᾽ ὅσον οὐθὲν ὑφ᾽ ἡμῶν πέπονθας, εἶτ᾽ οἰόμενος ἐξεῖναί σοι ὁπόταν βούλῃ πεπαῦσθαι. τοῦτο δὲ, οὐδὲ τοῖς πολὺ σοῦ δυνατωτέροις ἐ

γένηται. ἕως οὖν σοι πάρον, τῶν ἑκατέρων ἑλέσθαι τὸ λυσιτελέστερον, μὴ μιμοῦ Τιμάνδρου. ἐχθρῷ δὲ μᾶλλον ὠφελίμῳ, ἢ λίαν ἐπιζημίῳ συμβούλῳ χρῆσθαι.

Πολυδεύκει. lxxxviii.

ἐ Ρρωμενέστερον ἀδικοῦμαι τῷ παντί, ἢ τιμωροῦμαι Πολύδευκες. οὐχ ὥσπερ ἔφησθα, καὶ πάσχειν μὲν δεινά, καὶ δρᾶν. ἐγὼ μὲν γάρ, καὶ δὶς καὶ τρίς, ἀδείας τοὺς αὐτοὺς τῶν ἐπιβουλευσάντων ἠξίωσα. τῶν δὲ ἀδικούντων οὐδείς ἐστιν, ὅστις ἐπὶ τοῖς πρώτοις ἁλοὺς κακοῖς, ἐπὶ τὸ δεύτερον πονηρὸς ὀφθῆναι ᾐδέσθη. ἔρρωσο.

Ἐγγυΐνοις. lxxxviiii.

ὄ Υτε προφάσεως ἐνδεῖν μοι δοκῶ, δι' ἣν οὐκ ἂν δικαίως ὑμᾶς ἀμυναίμην, οὔτε βουλομένῳ ἐπεξιέναι δυνάμεως. βουλήσομαι δέ, ἂν μὴ νῦν γέ ποτε αἰδεσθέντες ἡμᾶς ἀπολύσητε τοὺς ἄνδρας, οὓς οὐδενὶ δικαίῳ, διότι καὶ τῷ κακῶς ἀπολουμένῳ Πλείωνι, παραβιαζομένῳ πρὸς ὑμᾶς ἔδοξε, τρίτην ἤδη μῆνα τοῦτον ἐν τῷ δεσμωτηρίῳ κατέχετε.

Ἱμεραίοις. lxxxx.

σ Τησίχορον ἴστε καὶ Κόνωνα, καὶ Δρωπίδην, περαιουμένους ἀπὸ Παχύνου εἰς Πελοπόννησον, ἀντὶ Κορινθίων, πρὸς οὕς γε ἐπέμφθησαν ὑφ' ὑμῶν, πρὸς ἐμὲ ἀχθέντας. καὶ Δρωπίδην μὲν ἴσως ἀποδώσομεν ὑμῖν. Κόνωνα δὲ εὐθὺς ἀπεσφάξαμεν. Στησίχορος δέ, σῶός ἐστιν, ἕως αὐτὸν τρόπον λογισώμεθα, ὃν χρὴ αὐτὸν τιμωρηθέντα ἀποθανεῖν.

Στησιχόρῳ. lxxxxi.

π υνθάνομαί σε περιδεῆ σφόδρα εἶναι, ἐννοοῦντα τὴν δύναμιν ἡμῶν, καὶ συνειδότα ἅμα τοῖς πρὸς ἐμέ σοι πεπολιτευμένοις. θαυμάζω δέ σε εἰ νῦν ἤρξω περιδεὴς εἶναι, ἀλλ' οὐ τότε εὐθέως, ὅτε ἐπολιτεύου πρός με, ἀρχῆς παρανόμου, ὥσπερ σὺ προὔλεγες Ἱμεραίοις συλλαβέσθαι βουλόμενος, ἐλογίζου, ὅτι γένοιτ' ἂν ταχέα, ἃ σὺ λέγεις Ἱμεραίοις. εἰ μὲν οὖν

ὑπερεφρόνεις Ἀμμάλων, ὥσπερ καὶ ἐχρῆν σοφὸν ὄντα, τί νῦν τὸ
μάταιε ἰλιγγιᾷς, ἐξὸν ἃ προσδοκῶν τότε, οὐδὲν ἧττον θρασὺς
ἦσθα, ταῦτα καὶ πελάζοντα γενναίως ὑπομένειν. εἰ δὲ τὸ ὥσπερ
δειλὸς εἶ, πειθόμενος εἶχες πρὸς τὴν ἀφήμων δίκην ἐσο-
μένην, τί ὦ προπετέστατε ἐβόας τότε, καὶ τοῦτον ἑαυτῷ παρε-
σκεύαζες ἐχθρὸν, ἐναγῆ, τὸ αὐθάδη καλῶν, τὸ τὰς ἐκ τῶν ἐπῶν
συνηθείας εἰσφέρων εἰς τὰς ἐκκλησίας. τί δὲ μουσικὸς τὸ με-
λοποιὸς ὢν, καθίστας σεαυτὸν εἰς ἐναντίον σχῆμα, τὸ προαίρε-
σιν εἶναι τοῖς ἐπιτηδεύμασιν, ἐξὸν σχολὴν ἄγειν καθεζόμενον, καὶ
μὴ θερμοτέρων ἅπτεσθαι πραγμάτων, ἢ κριταῖς πρέπει. ἐπεὶ
δὲ ἄν τι κριτοῦ δημαγωγοῦ ὀρέγῃς γενέσθαι, μάνθανε οἷα φημὶ,
οὐ κριτὰς, οὐδὲ μουσικοὺς ἄνδρας, ἀλλὰ δημαγωγοὺς ὑπὲρ δύ-
ναμιν θρασυνομένους, κρατοῦντα ἐχθρῶν. Κλεοθένει. lxxxxii.

ὁ Υ τὸ τοῖς πολλοῖς εἰθισμένον, ὅταν ἐπὶ τοῦ λόγου βλαβέν-
τες, ἐν τοῖς ἀποτελέσμασι τῶν ἔργων εὐδοκιμήσωσι,
πρᾶξαι βουλόμενον, ἐπιστεῖλαι σοι δεῖν ᾠήθην. ἵν' ἐν ᾧ παρὰ γνώ-
μην ἐσφάλης, οὐ πεισθεὶς ἐμοὶ τὰ βέλτιστα εἰρηκότι, μέρος συμ-
φορᾶς γενόμενος ἐπιτιμοίην. οὐδὲν γὰρ ἕτερόν μοι δοκοῦσιν οἱ
τοῦθ' αἱρούμενοι ποιεῖν, ἢ κλῦναι ἑαυτῶν ἔπαινον εὐβουλίας δια-
τιθέμενοι, κατηγορεῖν τῶν ἐπταικότων. ὅτι οὔτε προέγνωσαν τὸ
συμφέρον, οὔτε τοῖς προειποῦσιν ἐπείσθησαν. ἀλλ' ὥσπερ αἰ-
σθανόμενος περὶ σοῦ τὰ μέλλοντα ἔσεσθαι, ἵνα μὴ πάθῃς οἱ κρό-
τατος ἐγνωμένην, οὐ τῶν πεπονθότας ἃ μήποτε ὤφελες, αὐτὸς οἶμαι
τὸ συναμαρτεῖν, καὶ ταλαιπωρεῖν. προὔλεγον μὲν γὰρ, ἵνα μὴ
γένηται. γεγονότων δὲ διὰ τύχην ἴσως, ἢ γνώμην, συνατυχῶ, καὶ
τῇ τύχῃ οὐκ ὀνειδίζω. ἀλλ' ἵνα μὴ μένῃ τοιαῦτα, τὸ ὡς ἔνεστι πε-
φιλοτίμημαι. ταῦτα μὲν οὖν παρὰ τῆς σεαυτοῦ μητρὸς ἥκων, ἄμει-
νον ἂν μάθοις. σὺ δὲ σχέτλιος, ὃς οὐδὲ ἐκπεσὼν τῆς πατρίδος, παρ'
ἡμῖν ἐβουλήθης τὸ εὐνουστάτοις τὰς ψυχὰς ἀναπαῦσαι. τοῦ-

το δὲ, εἰ μὲν ἄλλου του χάριν εἷλε, δίκαιος οὐκ ἂν εἴης περὶ ἡμᾶς. εἰ δ' ὡς ὀνειδιοθησόμενος ἠδέσθης τοὺς .. ευεισπόντας, καὶ οὐ πείσαντας, μικροῦ δέω λέγειν, ὅτι καὶ ἥδομαι, οὐ τοσοῦτον σωφρονοῦντος. αἰσχυνόμενος γὰρ ἐπὶ τοῖς προτέροις εἰρημένοις, οὐκ ἂν ἐπὶ τοῖς αὐτοῖς ἁλίσκοιο ἁμαρτάνων.

Νικίππῳ. lxxxiii.

τ Οὐ μὴν εἰληφέναι σε τὰς παρ' ἐμοῦ δωρεὰς, πλείστοις χάρις. ἐγὼ δὲ, ὅπερ ἔλεγες φοβεῖσθαι συνακουσίους, μή σοι χαλεπὸν ἐξ αὐτῶν ἀνάγκη, δεξαμένῳ τὰ παρ' ἐμοῦ χρήματα, μηνύσεως αὐτοῖς ἀποδοθείσης, τοῦτ' ἔμελλον ποιήσειν, μὴ λαβόντος σου, κατηγορεῖν ὡς εἰληφότος, ἵν' ᾖ σοι τὸ αὐτὸ δεξαμένῳ, καὶ μή. μᾶλλον δὲ, τὸ μὲν, ἧττον. τὸ δὲ, παντὶ χεῖρον. μὴ λαβὼν μὲν γὰρ, ἐμοῦ κατηγοροῦντος τὸ δεδωκέναι, πάντως ἂν αἰτίαν εἰληφέναι. λαβὼν δὲ ταῖς ἀληθείαις, ἐμοῦ μὴ δεδωκέναι λέγοντος, οὐκ ἴσως, ἀλλ' ὄντως ἀπήλλαξο τῆς αἰτίας.

Ἱερωνύμῳ. lxxxiiii.

ε Πυνθάνῃ τίσιν αὐτεξήτακα τὸ δύνασθαι, λεοντίνων μοι ἐπεξιόντων κατὰ τὴν χώραν, ἣν ἐμὴν οὖσαν ἀποτέμνονται, περιγενέσθαι. τὸ μὲν, ὅτι δικαιοτέρων ἐχόμενος, καὶ οὐκ ἄρχων πολέμου, ἀλλ' ἀμυνόμενος, οὐκ ἂν ἐπιστείλαιμι. τούτων γὰρ παρ' ὑμῖν οὐκ ἔδει λόγου. ὁ δὲ, κἂν μὴ προσποιῆσθε, ὑμᾶς εἰδέναι ἀνάγκη, τοῦτ' ἂν εἴποιμι. ὅπλοις πολλοῖς, καὶ ἀνδράσι δυνατοῖς, καὶ χρήμασι. καὶ ναυσί. καὶ ἵπποις. ὧν ἁπάντων ἐνδεεῖς ὄντες αὐτοί, μαχοῦνται πολεμίῳ. καὶ περὶ ταῦτα, καὶ περὶ τὰς τύχας πεπλουτηκότι.

Λαμάχῳ. lxxxxv.

τ Οὓς ἐπέστειλας καὶ διάκονον τούσδε, ὅταν τὸ πλῆθος λάβῃ τῶν καμαριναίων, χαλκευθῆναι κατὰ φύσεως ἀπάνθρω

πίαν ἀποφαίνεις. βούλομαι μὲν ἐν τούτῳ μεῖναι τῷ ἀριθμῷ,
καὶ μὴ τὸν διά τ[...] μ[...]γιστον ἄρχομαι. οὐχ ὁρῶ δὲ ἐώμενον τοῦτο ὑ-
πό τινων, μέχρι τούτων ὠθεῖσθαι. σὺ γοῦν αὐτὸς ἐννέα τε βιάκον
τα βιάζῃ τούτους γενέσθαι, προσνέμων σεαυτὸν, καὶ τὸν αὐαι-
σθητον ἐπιθέρσην. τε οὐχ ὁμοιομένειν, ἢ ἐμὲ διαβάλλεσθαι ὑφ᾽ ὑμῶν
ἀπολλυμένων, ἢ ὑμᾶς πονηροτάτους ὄντας ὑπ᾽ ἐμοῦ ἀμυνομέ-
νους, ἀπολέσθαι.

Νικάρχῳ. lxxxxvi

Ο ὐκ ἀγανακτεῖς κακομαινόμενος ἐμοὶ πολεμεῖν, ἀλλ᾽ ὑπ᾽ ἐ-
μοῦ πολεμεῖσθαι. οἱ δὲ, σωφρόνων ἀνδρῶν ποιοῦντες
πρᾶγμα, καὶ τοῦτο σαφῶς εἰδότες, καὶ πρὸ τῶν λόγων τὰ ἔργα σκο-
πούμενοι, καὶ πρὸ τῶν ἔργων, ἔτι τάχιον τὰ ἀποτελέσματα, πολλῷ
ἤδη χρόνον, παραπέμπουσί σου τὰς δημαγωγίας. σὺ δὲ οὐκ αἰσχύνῃ
βαρύτερος ὢν ἐκείνοις, ἀπὸ τοῦ βήματος καὶ τῶν λόγων, ἢ ἐμοὶ
καθ᾽ οὗ πολιτεύῃ.

Νικίᾳ. lxxxxvii.

Ο ὐ δοκεῖ σοι πικρὸν βασανιστήριον ὁ ταῦρος. οὐδὲ τούτῳ παρ᾽
ἡμῖν μηχανημάτων οὐδέν. ἐπεὶ τὸν εἰς ἐκεῖνα ἔλεον, οὐκ
ἂν μέλλων ἡμῖν μάχεσθαι, προανήλισκες.

Κλεομέδοντι. lxxxxviii.

Σ ὺ μὲν ὡς πυνθάνομαι καταγηρῶν ἐμοῦ, τὰς περὶ τὸν Κλε-
όμβροτον τύχας οἰκτρὰς, ὀδύρεσθαι ἐπιχειρεῖς. ἐγὼ δέ σε
κλεόμεδον, πολὺ μὲν ἐκείνου τολμῶντα ἀθλιώτερα, τῶν παν-
τὶ δέοντα ἀσθενέστερον, ἐμοὶ ὑποχείριον γενέσθαι.

Μελιταίοις. lxxxxviiii.

Ο ὐκ ἐκφαυλίζων ὦ Μελιταῖοι τὰς τιμὰς ὑμῶν, ἀπέ-
πεμψα τὸν πρεσβευτὴν, κατασεσημασμένας φέροντα
αὐτάς. οὐκ ἐᾷ δέ με ἐπαινεῖσθαι τὰ πεπραγμένα. ὑμεῖς μὲν οὖν ἴστε,
ὅσον αὐτοί με εἶναι δοκεῖν ἐθέλετε, τοιοῦτον οἴεσθε ὑπολαμβά-
νεσθαι καὶ παρ᾽ ἑτέροις. ἐγὼ δὲ οἶδα, παρὰ μὲν τοῖς ἄλλοις ἅ-
πασι, κακὸς ὑπολαμβανόμενος. παρὰ δ᾽ ὑμῖν, καὶ νομίζο-

μαι ἀγαθός· οὐδὲ ἐκτεῖναι δυνάμενος ἐντεῦθεν ἐπὶ τοὺς ἀλ-
φήμην. πολὺ δὲ μᾶλλον εἰς τὰς ψευδοδοξίας τῶν ἀνθρώπων
βλάψων ὑμᾶς, ὅτι τὸ κάκιστον, οὐκ ἂν εἰ μὴ τοιοῦτοι καθεστή-
κειτε, ἐπλωβεῖτε. ἐξὸν τοίνυν ὑμεῖς μὲν ἀδίκως πονηροί, ἐγὼ
δὲ οὐδὲν ἐπιεικέστερος ἐμαυτοῦ ὑπολαμβανοίμην, οὐκ ὤμην δεῖν
ἑαυτὸν τιμᾶσθαι.

## Καμαριναίοις. c.

Καὶ εἰς Γέλαν ἔπεμψα καὶ εἰς Λεοντίνους, καὶ πρὸς ὑμᾶς
πέμψαι δεῖν ᾠήθην, ὅπως μοι συλλάβησθε εἰς τὰ παρόν-
τα, οὐχ ὅπλων, οὐδὲ ἵππων δεόμενος. οὐδὲ ἀνδρῶν, ὧν κενὴν εἶ-
ναι λέγετε τὴν πόλιν, ἀλλ᾽ ἀργυρίου. καὶ Λεοντῖνοι μὲν ἡμῖν ἔ-
πεμψαν πέντε τάλαντα εὐθέως. Γελῷοι δὲ ὑπέσχηνται δέ-
κα δώσειν. ὑμᾶς δέ, οὔτε βραδυτέρους Λεοντίνων, οὔτε μικρο-
πρεπεστέρους ἔσεσθαι Γελῴων ὑπολαμβάνω.

## Ἀστυπαλαιεῦσιν. ci

Οὔτε μᾶλλον ἀνιαθεὶς ἐν τῷ ζῆν, ἐμαυτῷ σύνοιδα ἄνδρες
πολῖται, καίτοι πολλαῖς καὶ παραδόξοις χρησάμενος με-
ταβολαῖς, οὔτε πλέον ἡσθείς. ἄμοιρος γὰρ οὐδὲ τῶν τερπνῶν ἐγενό-
μην. ἠνιάθην μὲν οὖν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τῆς πατρίδος ἐξέπε-
σον ἀδίκως· ὅπερ ἀλγεινότατόν ἐστι, καὶ τοῖς δικαίως τοῦτο πά-
σχουσιν. ἥσθην δὲ ὅτε δημοσίᾳ μου μνησθέντες, ἐγράψατέ μοι
περὶ ὧν ὁ καιρὸς ὑμᾶς ἤπειγεν· ὡς γὰρ παρ᾽ ἑνὸς τῶν μάλιστα εὐ-
νοουμένων, καὶ περὶ ὑμᾶς ἐσπουδακότων ᾐτήσασθε. οὐ τοσοῦτον
ὡς ἔοικε τοῦ λαβεῖν τι τῶν ἐψηφισμένων, ὅσον τοῦ μαρτυρῆσαι
μὲν ἐμοὶ δημοσίᾳ, τὸ μὴ δικαίως ἐξελάσθαι, καταγνῶναι δὲ
τῶν τοῦτο δρασάντων. οὔτε γὰρ αἰτῆσαι χάριτας παρὰ τοῦ μὴ στεργομένου
τίς ἄν, οὔτε λαβεῖν παρὰ τοῦ μὴ στέργοντος ὑπομένειν. οὔτε νῦν πα-
ραδέδωκεν ὁ καιρός, μέμψασθαι μὲν ὑμᾶς ὡς φιλτάτους.
τοσούτους χρόνους μηδὲν αἰτησαμένους. εὐχαριστῆσαι δὲ τοῦ παρόν-

τος,

τος ἠρίνα αἰτεῖσθε. ἅπερ ὑμεῖς μὲν οἱ λαβόντες, δώσετε ταῖς ἀληθείαις. δέομαι γὰρ ὑμῶν χάριν τὴν αἴτησιν. ἐγὼ δὲ, ὅ με ταύτης ἡδονῆς λήψομαι μᾶλλον, ἢ δώσω. τί γὰρ ἀνδρὶ φιλοπάτριδι κάλλιον καὶ μεγαλοπρεπέστερον, ἢ δοκεῖν τοὺς ἑαυτοῦ πολίτας εὖ ποιεῖν. ὃ διὰ τῆς ἐπιστολῆς μοι τῆς ὑμετέρας πεπλήρωται. τὸ μὲν οὖν βραδύτερον ἀφῖχθαι τὰς δωρεὰς, ἢ παρ' ὃν ἐβούλεσθε χρόνον, μήτε ἐμὲ, μήτε τοὺς πρέσβεις ὑμῶν αἰτιᾶσθε. τὸν δὲ χειμῶνα, καὶ τὴν ὥραν τοῦ καθεστῶτος χρόνου. τὸ γὰρ ἐξ ὑμῶν, προθυμίας οὐδὲ ἧς τινος ἀπελείπετο. πλεῖν δὲ διὰ τὴν ὑπερβολὴν τοῦ χειμῶνος, οὐδὲ μετὰ τῶν ἐσχάτων τολμημάτων ἦν. τὸ μέντοι σεσῶσθαι τὰ πεμφθέντα, καίτοι πελαγίῳ παραβληθέντα κινδύνῳ, τῇ τύχῃ χάριν εἰδότες, οὐκ ἂν ἁμαρτάνοιτε. οὐ μὴν ἀλλὰ τῶν κομιζομένων. ἀποδώσουσι μὲν ὑμῖν ὁμολογουμένως οἱ πρέσβεις. δηλώσει δὲ καθέκαστα, καὶ ὁ συμπεσταλμένος αὐτοῖς ἀνὴρ, ὁ καὶ τὴν ἐπιστολὴν φέρων ἄλοφος. παρ' οὗ τά τε εἴδη, καὶ τὸν ἀριθμὸν λαβόντες, τὰ μὲν ἄλλα διανείμασθε, καθ' ὃν ἂν προῄρησθε τρόπον. τὰ χρήματα δὲ, πρὸς ἐπισκευὴν τῆς πόλεως, καὶ κόσμον χρησάμενοι, καλῶς ἂν εἴητε πεφρονηκότες, οὐ διὰ τὴν ἐμὴν παραίνεσιν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν ὠφέλειαν. οὐδεὶς γὰρ ἀλλοτρίᾳ προαιρέσει, ἀλλὰ τῇ οἰκείᾳ χρηστὸς πέφυκεν. εἰ δ' ὅπερ οὐδὲ λέγειν ἐφ' ὑμῶν ἄξιον, τοῖς εἰς ἕτερον εἶδος δεδωρημένοις, εἰς ἄλλο τι καταχρήσεσθε τῶν οὐκ ἀναγκαίων. εὖ ἴστε, ὅτι ὑμεῖς μᾶλλον μεμφθείητε τοῦ μὴ δεόντως προσενηνέχθαι τοῖς δωρηθεῖσιν, ἢ ὁ δοὺς εὐλογηθείη τοῦ δεδωκέναι. ὡς γὰρ ἄτοπον τὸν ἐκπεπτωκότα τῆς πατρίδος διὰ τὴν φυγὴν ἐμὲ, τῶν αὐτῆς ἀναστήσασθαι ζητεῖν τὰ κατερρηγμένα, οὕτω τοὺς ἐνοικοῦντας τὰ πίπτοντα μέρη περιιδεῖν, καὶ μηδὲ ἐξ ὧν ἄλλος δίδωσι φιλοτιμεῖσθαι. ἐὰν μέντοι δικαιώσητε, μὴ μόνοις ὑμῖν πεπέμφθαι τὰς δωρεὰς, ἀλ

λὰ καὶ τοῖς μεθ' ὑμᾶς, καὶ μετ' ἐκείνων τῇ πόλει καὶ τοῖς θεοῖς. πότ' ἂν ὑμεῖς θαυμασθείητε πλέον τῆς ἀβουλίας, ἢ τοῦ δεδωρῆσθαι τί τῶν ἰδίων ὁ δεδωρημένος. τίς γὰρ ἂν ἀγνοήσειεν, ὅτι τὸ μὲν χαρίσασθαι, τῆς τοῦ διδόντος ἐπιμελείας ἔπαινός ἐστι· τὸ δὲ χρήσασθαι τοῖς δοθεῖσιν ὡς προσῆκε, τῆς τοῦ λαβόντος εὐλογιστίας. βουλοίμην δ' ἂν ὑμᾶς, μαρτυρηθῆναι περὶ ἀρετῆς μᾶλλον, ἢ περὶ πλούτου δαψιλείας ἐμαυτόν. τὸ μὲν γὰρ ψυχῆς ἀγαθῆς, τὸ δὲ, τύχης περιουσιαζούσης ἐγκώμιον δόξει. ἔρρωσθε.

## Ἀνδροκλεῖ. cii.

κ Ἀγὼ μὲν ἐσπουδασμένως ἐπέσταλκα Στησιχόρῳ, μηδὲν ἀχθεσθῆναι περὶ τῆς διαβολῆς, ἣν κατ' αὐτοῦ πεποίηνται πρός με οἱ περὶ Εὔβουλον. καὶ σὺ δέ μοι δὸς ταύτην τὴν χάριν, ἀνάδοχος αὐτοῦ γενόμενος, περὶ τοῦ μηδὲν ἐμὲ κατ' αὐτοῦ πονηρὸν πεπιστευκέναι. μᾶλλον γὰρ ἂν πεισθείην, ὡς ἀρχὴν, οὐδ' ἐπεβουλεύθην ὑπ' αὐτῶν, ὅπερ ὡμολογήκασιν, ἢ ὡς διὰ τὰς ἐκείνου ποιήσεις, ἀλλὰ διὰ τὰς ἰδίας κακουργίας, εἴησαν ἐπιβεβουλευκότες. ἔρρωσο,

## Λεοντιάδῃ. ciii.

ὀ Υ νῦν, ἀλλὰ πολλάκις ἤδη σοι γέγραφα, μηδεμίαν ἄλλην εὐχαριστίαν ἢ ταύτην ἡμῖν ἀποδιδόναι περὶ τῆς γυναικὸς, εἰ ἄρα νομίζεις ὑφ' ἡμῶν εὖ πεπονθέναι διὰ τὸν γάμον, τὸ στέργειν ἐκείνην, δι' ἣν ἡμῖν οἴει δεῖν χάριτας ἀποπέμψειν. ἐξ ἧς ἡ συνάφεια τοῦ πρὸς ἡμᾶς γένους, ἀρχὴν εἰληφέναι σοι φαίνεται.

## Τιμοσθένει. ciiii.

τ Ὧν στρατιωτῶν οἱ μὲν ἡμίσεις εἰς τὸ φρούριον ἐπιμείναντες ἐκκοψάτωσαν. οἱ δ' ἄλλοι, τὰς ἐπιδρομὰς τῆς θαλάσσης διαχωσάτωσαν. ἵνα τῆς πλημμυρίδος ψυγείσης, ἐνεργὸν αὖτις ἀργοῦ γένηται τὸ πεδίον. ἀνακείσθω δὴ περὶ ἑκατέρων αὐ-

τῶν χάριν, τοῖς πρώτοις τὸ καθ᾽ ἑαυτοὺς ἔργον ἀποτελέσασιν.

Κλεομενίδῃ. cv.

Τῶν δωρεῶν, ὅσαι μὲν πρὸς τὴν γυμνασιαρχίαν ἀνήκουσι, σοὶ πεπόμφαμεν, ἐλαίου μετρητὰς διακοσίους, καὶ πυρῶν μεδίμνους τετρακοσίους, ὅσα δὲ νεότητός ἐστιν, Κῶ ἢ Θάσου, τόν τε οἶνον, καὶ τοὺς γραμματεῖς παῖδας, καὶ τὰ Στησιχόρου ποιήματα. εἰ μὴ καὶ ταῦτά τις τὰ δῶρα συρακουσίων ὑποπτεύσειε. νεωτέρων ἕνεκα πραγμάτων ὑπὸ τυράννου πεπέμφθαι.

Γοργίᾳ. cvi

Ἃ μὲν ἄλλα τῆς ἐπιστολῆς συμπάντα, καλῶς ἡγοῦμαι γεγράφθαι. τὴν δὲ παράκλησιν τὴν ἐπὶ τοῖς μέλλουσι, περιττὴν εἶναι νυνὶ μάλιστα λογίζομαι. ἐγὼ γὰρ, οὔτε τελευτὴν, οὔτε τελευτῆς εἶδος φοβοῦμαι, σωφρονεῖν ὑπολαμβανόμενος. εἱμαρμένη γὰρ, οὐχ ὑπ᾽ ἀνθρώπων νομοθετεῖται. καὶ καθόλου δὲ τὸν ἐξετάζοντα περὶ τῶν βιούντων, ἢ διότι περὶ τῶν ἐσομένων καλῶν ἢ κακῶν, λίαν εὐήθη νομίζω, εἴ τις ἢ προγνῶναι δύνασθαι τὸ μέλλον πέπεισται, ἢ προγνοὺς φυλάξασθαι. εἰ δὲ φυλάξασθαι ἀδύνατον, τοῦ χάριν ἐσπούδακεν εἰδέναι τὸ γενησόμενον, ὅπερ ἀγνοοῦντος, καὶ γινώσκοντος ἔσται. οὐ μὴν ἀλλ᾽ εἰ καὶ σὺν τῷ γνῶναι, καὶ τὸ φυλάξασθαι τοὐπιὸν εἶναι φήσει τις, ὡς γενέσθαι, καὶ διατάξαι, καὶ μετατεθεῖναι ἄλλο ἄν τι τοῦ προγνωσθέντος, χείρονα ὄντα τὸν ἐπιεικέστερον τρόπον, ὥστε τελευτῆσαι δύναιτ᾽ ἄν, ἐγὼ μὲν οὐκ οἶμαι. θεοῦ γὰρ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου. ἐνθυμηθεὶς δέ τις τοὺς λεγομένους ἀπὸ τοῦ Διὸς, Αἰακὸν, καὶ Μίνω, καὶ Ῥαδάμανθυν, καὶ τοὺς ἄλλους ἡμιθέους, οὔτε ἀθανάτους γενομένους, οὔτε ἄλλως ἀποθανόντας, ἢ κατὰ τὴν ἰδίαν ἑκάστου εἱμαρμένην, ἢ περὶ μοίρας, ἢ θανάτου μὴ δυσανασχετεῖ, ἢ φοβοῦμαι, ἐμπεδόφρων εἶναί μοι δοκεῖ. μάλιστα μὲν οὖν πειρῶ

καὶ σύ, τοιαύτην διάνοιαν ἐν τοῖς ἰδίοις περὶ τῶν ἀφανῶν ἔχειν, ὡς μηδὲν περὶ αὐτῶν φροντίζειν. ἐπεί τοι περὶ ἡμῶν ὡς μηδὲν μεμνημένων ἐπίστασο.

Ταύρῳ. cvii

ά Ρισομένου σοῦ, τὸ χωρίον παρεδόθη, καὶ ἱππολυτίων ἀφείθη τῶν ἐγκλημάτων. οὐδ' ὡς ἐπαγγέλλει προσδοκῶμεν. ἐγὼ δὲ ἔρρωμαι, εἰ τοῦτ' ἐστὶν ἐρρῶσθαι, τὸ πολλοῖς ἐπιχειρήσαντα, καὶ τῶν πλείστων περιγινόμενον, διὰ τὰ χείρω, μεταμελεῖσθαι καὶ περὶ τῶν βελτιόνων.

Ναυσικλεῖ. cviii.

ό περ ἤδη πολλάκις ἐπεσταλκώς σοι τυγχάνω, καὶ ἑρμοκράτης, ἤ τις ἄλλος, εἰ ἔρξη τὰς παρ' ἐμοῦ δωρεὰς λαβεῖν, τὴν φιλοδήμου θυγατέρα γαμουμένην, ἃ πέμπω δέδωκα. καὶ τὸν ἔπαινον ἴσον, μᾶλλον δὲ εὐκλεέστερον ἔχων, παρ' ὅσον τοιούτοις συγγενέσιν ὁ τύραννος καὶ μηδὲν προσήκων αὐτεξετάζομαι. πρὸς δὲ τοὺς ὀνειδίζοντας, ὅτι χαριζόμενοι πείθομεν, ταύτην ἔχειν τὴν ἀπολογίαν, τὸ μὴ δύνασθαι πρὸς τοὺς εὐεργετουμένους, ἀντὶ φιλοφροσύνης βίᾳ χρήσασθαι.

Ἱμεραίοις. cviiii.

έ Κέλευσα ὑμῖν στησίχορόν μοι ἀποστεῖλαι, καὶ κόνωνα, καὶ ἑρμοκράτην διὰ τέχους. ὑμεῖς δέ, ἀντὶ ἑρμοκράτους, καὶ κόνωνος, καὶ στησιχόρου, σαμέαν καὶ νικάρχον ἐπέμψατε. ἐγὼ δέ, εἰ μὲν οἷον ὑμεῖς με ὑπετοπάσατε εἶναι, τοιοῦτος ἤμην, οὐκ ἠγνόουν, ὅτι δεῖ ἐκείνους μὴ ἀποδοῦναι ὑμῖν τι τῶν ἀνηκέστων ἔχειν, καὶ ἧκεν ἂν καὶ στησίχορος, καὶ κόνων πρός με καὶ ἑρμοκράτης ἀδεῶς. οὐ γὰρ κόνωνος μὲν ὑμῖν πεπορνευκότος ἀνθρώπου, ἔδει τις πρόνοια, σαμέα δὲ καὶ νικάρχου ἐπιφανεστάτων ἀνδρῶν, καὶ κάλλιστα ἐξ ἁπάντων ὑμῶν βεβιωκότων, οὐκ ἔστιν. ἀλλ' οὔτε ἐπιεικεῖς ἄνδρας, καὶ μηδένα με ἠδικηκότας, μὴ δὲ τὴν παρ' ἰδίαν τὴν ἑαυτοῦ ἀδικεῖν ἐβουλόμην, οὐδὲ νόμον κοινὸν ἑλλήνων καταλύειν.

ταλύειν. καίτοι ὑμεῖς γε, πολλοὺς νόμους ἑλλήνων κοινοὺς κατε
λύσατε, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις. ἐν οἷς πρός με ἐπολι-
τεύεσθε. λόγῳ δὲ, οὐδὲν οἶμαι κακὰ λέγειν, αὐτός τε εἰδὼς, καὶ
πρὸς εἰδότας γράφειν. ἀλλ' οὐκ ἐμιμησάμην ὑμᾶς, οὐδὲ μι-
μήσομαι, ἐγὼ ὁ ἀνδροφόνος, καὶ ἐναγὴς τοσούτοις ἄγεσιν. ἀλ-
λ' ἔπεμψα ὑμῖν τοὺς πρέσβεις. παρὸν, τῶν δυοῖν θάτερον ἀμο
γητὶ ἔχειν, ἢ κἀκείνους ὑμᾶς ἀναγκάσαι ἀντὶ τούτων πέμ-
ψαι, ἢ εἰς τοὺς ἐν χερσὶν ὄντας ἀφεῖναι τὴν πρὸς ἐκείνους ὀρ-
γήν. καὶ μὴν, εἰς τοῦτό γε ἤδη κατέστησε τὰ πράγματα ἡμᾶς, καὶ
αἱ ἀνάγκαι τοῦ μὴ δικαίως βιοῦν, ὥστε μηδὲν παρὰ τὸ χεῖρον
ἡμᾶς νομισθῆναι, ἀποκτείναντας τοὺς πρέσβεις ὑμῶν. μηδὲ
ἀμείνους, σώσαντας. πέφυρται γὰρ ἤδη τὰ ἐμὰ, καὶ μεμίανται.
καὶ οἶδα ὅτι μικρὰ ῥοπὴ ἔτι ἡμῖν εἰς εὔνοιάν τε καὶ μῖσος ἀνθρώ
πων, δικαιοῦν ἢ μὴ δίκαιόν τι πράσσειν. καὶ εἰς τοῦτο οὐχ ἥκιστά με ὑμεῖς
γε ὦ ἱμεραῖοι τὸ σχῆμα κατεστήσατε, καὶ οἱ ἄνδρες ὑμῶν ἐκεῖνοι. καὶ
τῶν μὲν ἄλλων, ὅσα ἔπαθον δι' αὐτοὺς κακὰ, ἔξεστι καὶ συγγνῶναι τοῖς
αἰτίοις, καὶ καταχέαι λήθην τῶν γενομένων. τοῦ δὲ μὴ ἐξεῖναι δι-
καιόν τι πράσσειν, τίνα ἄν τις αὐτάρκη δίκην εἰσπράξαιτο πα-
ρὰ τῶν αἰτίων. ἐπεὶ τίνας ἦν δικαιότερον ἀπολαῦσαι τῆς ἡμε-
τέρας ἀδικίας, ἢ δι' οὓς ἀνάγκη ἀδικεῖν ἡμᾶς ἐστιν. ἀλλ' ὅμως
ὦ ἱμεραῖοι ταῦτά γε ἅπαντα σκοπῶν, καὶ ὀργιζόμενος, καὶ τύραν-
νος ὤν, καὶ ἔχων, εἰ καὶ πάνυ οὐκ ἐβουλόμην, ἀλλ' οὖν γε ἀναι-
ρεθέντων, ἐμέλλομεν ὑμᾶς, οὐδὲν ἧττον ἀνιάσειν, ἐφεισάμην
αὐτῶν, καὶ ἀπέπεμψα ἑστιάσας. εἰ μὲν οὖν καὶ αὐτοὶ τὰ δίκαια ἐν
μέρει ποιεῖν ἐθελήσετε, λογισάμενοι ὅτι οὐχ ἅπασαν ὀργὴν τὰ τείχη,
ἐὰν εἰς δύο ἄνδρας, ἢ τρεῖς, ἅπαντα ἀποστρέψητε τὰ τῇ πόλει ἐπι-
κρεμάμενα δεινά. εἰ δὲ κόνων ὁ τέως ὑφ' ἑκάστου ὑμῶν εἰς τὸ
σῶμα παροινούμενος σώζηται, αὐτοῖς βάθροις ὑπομενεῖτε, ἀ-
νάστατον ἅπασαν γενέσθαι τὴν πόλιν. πειράσομαι γὰρ ὑμῖν, μὴ

δ' ἐν ἐπιφανέστερος φανῆναι, ἢ ὑμεῖς νομίζετε.



## Τηλεκλείδῃ.

Ἰδίᾳ τινὶ χρώμενος γνώμῃ, πρὸς πολλοὺς ἤδη τῶν ἐμῶν
ἑταίρων διείλεξαι, τοῦτο ἴσως διαπειρώμενος, ὃ καὶ γέ-
γονεν, εἰς ἐμὲ κομισθῆναι τοὺς λόγους, ὡς οὐκ ἔχρην με τὸν
δημιουργὸν τοῦ ταύρου Περίλαον, ἄλλους κατεργάσασθαι τῷ
τρόπῳ τῆς αὐτῆς αἰκίας. τὸν γὰρ ἴδιον λύειν ἔπαινον. ἐγὼ δέ, οὔτε τὴν
ἐπὶ Περιλάῳ τιμωρίας ἐπαινούμενον ἀποστρέφομαι, τιμωρὸς γὰρ
οὐκ ἐγενόμην ἐπαίνου χάριν, οὔτε τοῦ ἐπὶ τοῖς ἄλλοις κολάσεως δια-
βαλλόμενος ἄχθομαι. δόξης γὰρ αἰσχρᾶς, καὶ καλῆς, ἀμείνω κεχώρι-
σαι. τοῦτο μέντοι καὶ τοῦτο ἴσθι, ὅτι τοῦ μέλλειν τινὰς καὶ ἄλλους ἐν τῷ ταύ-
ρῳ διαφθείρεσθαι, χάριν ἐκολασάμην αὐτόν. ἐπεὶ τῆς τοῦ χαλ-
κοῦ κατασκευῆς ἕνεκα, δωρεᾶς οὐκ ἀπωλείας ἦν ἄξιος. δίκαι-
ον μὲν οὖν ἐκείνῳ τὰς περὶ τούτων αἰτίας, καὶ εἰς τοῦτο τύχης ἥ-
κειν βιαζομένοις, ἀνακεῖσθαι. εἰ δὲ καὶ εἰς ἡμᾶς ἀναφέροιν-
το ὑπὸ τῶν ἀγνωμόνως κρινόντων, οὐκ ἀχθόμεθα ἕως ἔχομεν
ἀξίους ἀποδεικνύναι τῆς κολάσεως τοὺς ἀναιρουμένους. ἀρξά-
μενοι γὰρ ἀπὸ τοῦ πρώτου κολασθέντος, ὃν ὑπὲρ ἁπάντων ἀν-
θρώπων, μᾶλλον δὲ αὐτῆς τῆς ἀνθρωπίνης φύσεως ἐπυρπόλη-
σα, τὸν αὐτὸν τρόπον τῆς ἐξετάσεως ἐπὶ πάντων ποιεῖσθε. εἰ γὰρ τὴν
ἐπὶ Περιλάῳ κόλασιν ὡς δικαίαν ἐπαινεῖτε, καὶ τῶν ἄλλων, ὅ-
σους ὑπὲρ ἀλλοτρίων ἀδικημάτων ἐκολασάμην, οὐδή που
μέμφοισθ' ἂν προσηκόντως, ὅσων ἀνῄρηκα μὲν, ἑκασόνδων ἐ-
μοὶ γενομένων, δι' οὓς ἐμηχανήσαντο ὀλέθρους. ἢ που σφόδρα γε
ἂν ἄβουλος ἤμην, εἰ τοὺς ὑπὲρ ἄλλους κακούργους, ἐάν με καὶ
οὐ ποιῶσι τιμωρούμενος, τοὺς εἰς ἐμὲ αὐτὸν ἐπιβουλεύοντας ἀ-
ζημίους ἐάσαιμι. καὶ τὴν δύσκλειαν ὑπὲρ τῶν μὴ προσηκόντων
ἐπὶ τῷ φοβερὸς δοκεῖν εἶναι τοῖς ἐπιβουλεύουσιν ἀναδεχόμε-

νος, ὑπὲρ τῶν ἰδίων κινδύνων ὀκνήσαιμι. πέπαυσο δή, καὶ σεαυτῷ καὶ μοὶ πράγματα παρέχων.

### Κτησίππῳ. cxi

Ο ὔτε πρῶτον, ὁπηνίκα Ταυρομενῖται ἀδίκως ἐξήνεγκαν τὸν κατ' ἐμοῦ πόλεμον, ἀπολυτρώσας τοὺς αἰχμαλώτους ἐκείνοις ἐχαριζόμην, τῶν δὲ κοινῶν νόμων τῶν ἑλλήνων οὐκ ἠναντιώθην, οὔθ' ὕστερον ἀποδιδοὺς ἃ τότε ἔλαβον, ὑπὲρ τῶν τοὺς ἀπολυομένους, ὅπερ ὠνείδιζες, αὐτοῖς ἀπέδωκα. Στησιχόρῳ δὲ πρεσβευσαμένῳ διὰ τῶν θυγατέρων περὶ αὐτῶν, ἐπείσθην. Ταυρομενῖται μὲν οὖν, καὶ τεθνηκότι Στησιχόρῳ, χάριν εἰδέτωσαν, ὧν ἔτυχον. Στησίχορος δέ, τοῖς ἑαυτοῦ τρόποις. ἐγὼ δὲ περὶ πολλῶν καὶ μεγάλων, ἐκείνῳ χάριτας εἰδώς, οὐδὲ περὶ τῆς πρεσβείας ἀμνημονήσω. γινώσκω γὰρ ὅτι δι' αὐτὴν αἰτησάμενος τι παρ' ἐμοῦ, καὶ τυχών, Ταυρομενίτας μέν, εἰς χρήματα εὐηργέτησεν. ἐμὲ δέ, εἰς τὴν δεῖξιν ἧς ἔχειν ὑπὲρ ἀνθρώπων ἀπιστοῦμαι χρηστότητος.

### Ἀθηναίοις. cxii

Α φίκετο ὡς ἡμᾶς, Περίλαος ὁ πλάστης ὑμῶν ὦ Ἀθηναῖοι, δημιουργήματα, πάνυ τὴν κατασκευὴν ἀρχαῖοντα νομίζων. ἐφ' οἷς ἄσμενοί τε αὐτὸν ἐδεξάμεθα, καὶ δώροις ἀξίοις, διά τε τὴν τέχνην, καὶ οὐχ ἥκιστα διὰ τὴν πατρίδα, ἠμειψάμεθα. ὁ δέ, ἐντὸς οὐ πολλοῦ χρόνου χαλκευσάμενος ταῦρον, μεγέθει πλέω τοῦ κατὰ φύσιν εἰς Ἀκράγαντα ἤνεγκεν. ἥσθημεν οὖν ζῶον ἐργατικόν, ἀνθρώπῳ σύντροφον εἰσδεξάμενοι. τὸ σφόδρα ἡμῖν τὸ θέαμα τυραννικὸν κατεφάνη χρῆμα, κόσμου ἄξιον. οὐ γάρ πω τὸν ἐν αὐτῷ λελοχισμένον ἐπεδέδεικτο μόρον. ἐπεὶ δὲ ἀναπτύξας τὸ πλευρὸν ἐγύμνωσε, πάσης μὲν ὠμότητος ἀνάπλεω φόνον, παντὸς δὲ θανάτου δυστιμότερον μόρον, τότε δὴ τῆς τέχνης αὐτὸν ἐπαινέσαντες, τῶν τρόπων ἐτιμω-

ρούμεθα. καὶ τῆς ἰδίας ἐπινοίας τὴν ἀπόδειξιν. αὐτὸν πρὸ τῶν ἄλλων, ἐπεὶ κακουργότερον οὐδένα τοῦ δημιουργήσαντος ἐξεύρομεν, δικαίως ἠξιώσαμεν. ἀνεβιβάσαμεν οὖν αὐτὸν, καὶ περιείψαμεν ὡς αὐτὸς ὑπεξέθετο πειρᾶσθαι. πειρὰς δὲ τῆς ἐπιστήμης, ἀληθεῖς οὔσας τὰς ἀποδείξεις δέδωκεν. οὔτε γὰρ εἰδόμενοι τίς ὁ τιμωρούμενος, οὔτε ἠκούσαμεν γόων, οὐδ᾽ ὀλοφυρμῶν. τὰς γὰρ ἔνδοθεν ἀναβοωμένας ὀλοφύρσεις, ὁ χαλκὸς εἰς τοὺς ἀκουομένους κολαστὰς ἐξεμυκᾶτο. ὑμᾶς δὲ, ὦ ἀθηναῖοι πυνθανόμενος ἄχθεσθαι, περὶ τῆς ἀναιρέσεως τοῦ δημιουργοῦ, καὶ δι᾽ ὀργῆς ἔχειν ἡμᾶς, ἐθαύμαζον. καὶ τέως ἀπιστῶ. εἰ μὲν γὰρ ὅτι μὴ χαλεπωτέρῳ ὀλέθρῳ ἠκισάμεθα αὐτὸν μέμφεσθε, ἀπολογοῦμαι πρὸς ὑμᾶς, τὸ μὴ δυσποτμότερον ἐπινοῆσαι μόρον. εἰ δ᾽ αὖ διὰ τὸ ὁπωσοῦν τετιμωρῆσθαι, κινδυνεύετε πανδημεὶ, οἱ ἐπὶ χρηστότητι ὑπεραυχοῦντες, πικροτέραν τὴν ὀφλῆσαι ὠμότητα, ἢ γὰρ ἑνὸς ἀνδρὸς τοὔργον, ἢ ἁπάσης ὑμῶν τῆς πόλεως εἶναι ἀνάγκη. τοῦτο δὲ διαγνώσεται, μόνη τῆ ὑμετέρα πρός με διαθέσει. εἰ μὲν γὰρ δικαίως ἀνὴρ ἀπώλετο, καὶ προσήκει τοὺς τρόπους, καὶ τὴν φύσιν, οὐδεὶς ἀθηναίων ἐκείνῳ, τοῦ χαίρειν ἡμᾶς μέμφοιτ᾽ ἄν; εἰ δὲ ἀδίκως, ὑμεῖς μὲν ἐντεῦθεν ὁμολογεῖτε, οὐδὲν ἀμείνους εἶναι περιλάου. ἐγὼ δὲ, οὔπω δίδωμι τὴν τιμωρίαν πεπρᾶχθαι ἀδίκου, πρὶν ἂν ἐμαυτὸν δόξω τι ἀδικεῖν εἰργάσθαι. καίτοι παρὰ τυράννου τὰ δίκαια οὐδεὶς ἐπιζητεῖ. τὸ γὰρ σώζον αὐτοῦ, τοῦτ᾽ ἔοικεν εἶναι. ἀλλὰ τοὐμοῦ ἀσφαλὲς, καὶ τὸ τῆς ἀρχῆς ὀχυρὸν τοῦτο ὑπεξελὼν, τότ᾽ ἂν δόξαιμι, ὅταν κατ᾽ εὐθεῖαν μὴ τετιμωρῆσθαι δοκῶ. πέπραχα δὲ μήθ᾽ ὑμῶν τοῦτο, μήτε τῶν ἄλλων ἑλλήνων, τὴν λώβην ἄδικον φανεῖσθαι, ἣν τις ἑτέροις ἐτεκτήνατο, αὐτὸν ἐμφορήσασθαι τοῦ μηχανησάμενον. τεκμαιρόμενος, ἔκ τε τῶν λοιπῶν ἁπάντων, οὐχ ἥκιστα μὲν τούτου καὶ δι᾽ ἐμαυτὸν, ὅτι μοι ταύτῃ μάλιστα προσήκειν τιμωρηθῆναι ἔδοξε. καίτοι γε ὑπὲρ ἐμοῦ τὸν ὄλεθρον εὕρηκα

τὰ τῶν ἐπιβουλευόντων ἀχθηρότατον. ἀλλὰ θυμὸν ἀσφαλὲς
ἐνοῖς τῷ φύσει, καίγε κεῖ τῆς ἀποδείχθην, ἀφῆκα. ἁπλοῦν δὲ
ἐφ' ἑαυτοῦ τὸ δίκαιον αὐτὸ ἐλογισάμην. καὶ μὴν, καὶ τὸ πικροτέ-
ρους ἐὰν πολλοὺς ὑπάρχειν, ἢ δίκην ἐμοὶ συναγορεῦσον. καὶ ἡμερώ-
τερος φανεὶς τῆς δόξης, μᾶλλον ἐπιβουλευθήσεσθαι. καὶ ὅτι παύ-
σω πάντα τινὰ προθυμούμενον εἰς ἐμὲ διὰ τὴν τούτου κολάσε-
ως, καὶ ὡς βέλτιον ἴσως τῇ βίᾳ χρῆσθαι, διὰ τὴν ἀνάγκην τῶν ἐ-
πιχειρούντων. ἀλλ' ὅμως ταῦτα εἰδὼς ἅπαντα, καὶ τὴν ὕστερον δυσ-
φημίας οὐδὲν δεόμενος, δεινὸν ἡγησάμην ἀνθρώπων, ἀνθρώ-
ποις τοιούτου μόρου ἄρξαντα, εἶναι ἀτιμώρητον. διὰ τοῦτο αὖς τοὺς
ἄλλους μηδὲν ἀδικήσαντας αὐτὸν, ἢ πείχθη τέχναις ἐγκαταπεῖ-
σαι, ταύταις ἐνδίκως ὑφ' ἡμῶν τῶν ἀξιωθέντων χάριτος τοιαύ-
της ἐνεφρουρήθη. τάχα τις ὑμῶν ὦ ἀθηναῖοι ἀκούων τὸ παρά-
λογον, ὡς εἰ δέοι τούτοις αὐτὸν τοῖς ὀλέθροις, οἷς ἐπενόησε
καθ' ἑτέρων περιπεσεῖν τὸν ἐξάροντα, πολλαῖς με ἐρινύσιν ὀ-
φείλεσθαι νομίζει. μᾶλλον δὲ οὐδὲ ἐξαρκέσειν ὅλαις τῇ αὐ-
τοῦ μίᾳ ψυχῇ. καθ' ἑαυτοῦ δὲ τοὺς μόρους ὑπογράφειν. ἀλλ' εἰ χω
εἰς δυσμενείας σκέπτεσθαι ἐθελήσετε, εὕροιτε ἂν οὔτε δρῶν-
τας ἑκόντας ἡμᾶς, οὔτε εἰ πάσχομεν, δόξαν τῷ δαίμονι, δικαί-
ως ἀπολαύοντας. καὶ γὰρ ἐξουσίαν ἔχοντες δρᾶν διὰ τὴν τυραν-
νίδα τὰ πρὸς ὠμότητα, ὅμως ἴσμεν ἔκτοπα ὄντα, καὶ μηδὲν
τῶν πεπραγμένων ἑαυτοῖς ἀναλαβεῖν δυνάμενοι, τὸ μὲν ὅτι
δεινὰ ταῦτ' ἐστὶν, ὁμολογοῦμεν. εἴθε μέντοι μηδὲ δρᾶσαι αὐ-
τὰ πικρᾷ ἀνάγκῃ ἐβιάσθημεν. καὶ οὐδεὶς ἕτερος ἦν ἂν, ὡς χρη-
στὸς ἐπαινούμενος, ἡμῶν παρόντων. τίς γὰρ ὑμῶν ὦ ἀθηναῖοι, ἢ
τῶν ἄλλων ἀνθρώπων, τὸν ἐπιβουλεύοντα ἑαυτῷ ἐχθρὸν, οὐ διὰ
πάσης ἀμύνης παρασχὼν ἐτιμωρήσατο. τοιοῦτον εὑρὼν περιέ-
λαον ἐτιμωρησάμην. καὶ ζῶ οἶδα μὲν ἐμαυτῷ, ἔκθεσμα δρᾶν.
παραμυθίαν δὲ ἔχω, τὸ μὴ μετὰ γνώμης ἐθελουσίου, ὅτοις ὑ-

περὶ μοῦ τιμωρουμένοις οὐ πρόσεστιν. ἐγὼ μὲν ὥσπερ φασὶ τοὺς γηγενεῖς Ἀθηναῖοι, καὶ ἐν τούτῳ τὰ ὑμέτερα ἤθη ἐμιμησάμην. ἐκεῖνος δὲ, ἃ δέον ἔχειν ἡμᾶς τοὺς τυράννους, μετεδίωξε. καὶ δικαίως, οὐχ ὅτι οἱ φύσει ἡμῶν, ἀλλ' οἵους ἡμᾶς αὐτὸς ἔπλαττεν, εἰς αὐτὸν ἐγενόμεθα. ἀλλὰ μέντοι καὶ νῦν ἴστε, ὅτι οὔτε ἐγὼ ἰδιώτας ὢν περίλαος αὐτῶν, οὔτε ἐκεῖνος μοναρχῶν, φάλαρις. ὑμῖν μέντοι οὐχ ὅτι ὄνειδος ἐὰν χαλεπαίνητε περὶ τῆς τούτου κολάσεως. ἀλλ' ἐὰν καὶ μὴ κολάζητε τοὺς τοιούτους. κοινὴ μὲν γὰρ ἅπαντας ἀνθρώπους ἡ δίκη, καθ' ὃ τοιούτους ἐπενόει μόρους. ἰδίᾳ δ' ὑμᾶς διαβάλλων εἰς ὠμότητα, καὶ τὸ τῆς πόλεως ἔμφυτον ἦθος λυμαινόμενος. ἅπαντας μὲν οὖν οἶμαι τὸν τρόπον τῆς τιμωρίας ἐπαινεῖν. ἄξιοι γὰρ οἱ τοιοῦτοι πολῖται. εἰ δέ τις ἐστὶν, ᾧ ὁ μόρος οὐκ ἤρεσεν, ἴδε τοῦτο, ὡς οὐδὲ περιλάῳ ἅ εἰς τὰ ἐπράξαμεν.

## Λυσικλεῖ. cxiii.

Οὐ θαυμάζω τὴν αἰτίαν, δι' ἣν οὐδὲν ἔχεις ἐμφερὲς, οὔτε τοῦ πατρίου, οὔτε τοῦ ἡρῴου Λυσικλέους. οὔτε γὰρ εἶ Λυσικράτους υἱὸς, οὔτε Νεοπτολέμου πατήρ. ταῦτα δέ φασι τὴν μητέρα σου, καὶ τὴν γυναῖκα, πρὸς πολλοὺς Σικελιωτῶν διαβεβαιοῦσθαι. καὶ διὰ τοῦτο τῶν μεγάλων τυγχάνειν ἐπαίνων. ἓν γάρ τι καὶ τοῦτο τῶν θαυμαζομένων ἐστὶ, τὸ πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς εἰδότας ἀψευστεῖν,

## Πολυδάμᾳ. cxiiii.

Τοὺς ἐμοὶ περὶ τῶν κατὰ δίκην ἀναιρουμένων πολεμεῖν παρασκευαζομένους Πολυδάμας, ἀκούσαντας καὶ σαφῶς εἰδότας, περὶ ὅτου τοῦτο ποιήσουσι, τιμωροὺς ὁμολογεῖν δέον. σὺ μέντοι κατηγορῶν ἐν Συρακουσίοις ἐμοῦ, τὸ μὲν τιμωροὺς ὡς δυνατοὺς λέγεις. τὰς δ' αἰτίας, ἃς μάλιστα ἔδει, ἐφ' οἷς ταῦτα ἔπαθον ὡς ἀνήκεστοι, οὐδέποτε ἠξίωσας προσθεῖναι. ἔχων γὰρ

δημαγωγεῖτε πολλάκις, λέγειν μὲν τὸν θάνατον· ἐπιδείκνυσθαι δὲ τὴν πρόφασιν, ἵνα καὶ παρὰ τὴν αἰτίαν μᾶλλον ἐπαίρῃς τὰ πάθη, καθ' ὧν αὖ πολιτάνη. εἰ δὲ αἰσχύνεσθε γυμνῶσαι τὰς αἰτίας, ἐφ' αἷς καταγορεῖτε, τίνι δικαίῳ πολεμήσετε ἐπ' αὐταῖς μὰ τοὺς θεούς; οὐκ οἶδα.

### Λακείτῳ. CXV.

Ὡς μὲν οὐκ ἐχρῆν εἰς κινδύνους καθίστασθαι περὶ τοιαύτης ἐλπίδος, τοὺς οὕτω δεδιότας, οὐδὲ ἐβουλόμην αὖ θερμοτέρων ἀποτελεσμάτων λαβεῖν ἐπὶ σοὶ πεῖραν. ἐπειδὲ τὸν ἡμέτερον φόβον, ἡ σὴ νενίκηκε ῥώμη. ἀγαθῷ μὲν οὖν οἰωνῷ τούτῳ κέχρησαι, ὅτι καὶ τἄλλα σοι κατὰ νοῦν γενήσοιτο. τεθαρρήκαμεν δέ, οὐδέν τι μᾶλλον ἀπηλλαγμένου, ἀλλὰ καὶ ἐπετάθημεν ταῖς φροντίσι. καὶ μέχρις ἂν ἥκῃς ἡμῖν σῶος, πρὸς τὰς ἀπὸ σοῦ πεύσεις ἀνακρεμάμεθα. ἅπερ οὖν καὶ ἀποστέλλοντες παρῃνέσαμεν, ταῦτα αὖ ἀξιώσαιμεν ἀπηρκότα, πρὸ τοῦ χωρεῖν, ζητεῖν ἡμῖν περιεῖσθαι Λάκειτον. ὃν αἴτιον πολλῶν τόπων καὶ πόλεων, καὶ τυραννίδων, καὶ αὐτῆς γε νὴ τοὺς θεοὺς τῆς ψυχῆς, ἑαυτοῖς εἶναι νενομίκαμεν.

### Τῷ αὐτῷ. CXVI.

Καὶ τῶν σῶν ὑποσχέσεων μέμνησο Λάκειτε, καὶ τῆς Φαλάριδος ἐρημίας φρόντιζε. ἐν ὅσῃ γὰρ ἀπορίᾳ λείπομαι φίλων, οὐκ ἀγνοεῖς. ἐπιστέλλω δὲ περιφόβως οὕτως ἔχων, οὔτε τὴν τῶν πολλῶν ἰσχὺν πεφρικὼς ἔγωγε, πολὺ γὰρ ἡμῶν εἰσὶ καταδεέστεροι, οὔτε τὴν τῶν συμμάχων ἀσθένειαν, τῷ παντὶ γὰρ μᾶλλον τῶν ἀντιπάλων ἔρρωμαι· ἀλλὰ τὴν σὴν περὶ τὰς μάχας προθυμίαν, μὴ μᾶλλον ἤδη σπουδῇ μεταποιήσῃ, ἀγαθὸς φανῆναι, τὰ πολέμια, ἀχθόμενος, εἰ μὴ πᾶσι τοῖς ἔργοις ἐνὶ χρόνῳ προσαλωσομένοις παρέσῃ. μέμνησο δέ, ὅτι παρακαταθήκην σοι στρατὸν ἐδώκαμεν ἐξιόντι, ἣν ὑπέσχου σῶαν ἡμῖν ἀποδώσειν. καὶ νῦν τοῦθ' ἱκετεύομεν· οὐχ ἵνα τῆς σαυτοῦ φύσεως ἀνάξιόν τι φρονήσῃς.

τοῦτο μὲν γὰρ ἀδύνατον· ἀλλ᾽ ἵνα εἰς πολλοὺς ἀγῶνας ἑτέρους, ἔχῃς ἐπιδεῖξαι σαυτὸν μαχητὴν φιλόμοχθον· τανῦν δὲ, καὶ αὐτὸς σαυτοῦ γενήσῃ μαλακώτερος, ἐν ἄλλοις καὶ ἡμῖν σεαυτὸν ἐκπεπληρωμένον ἀποδώσεις.

## Ἐπιστράτῳ. CXVII

μ Ἢ βιάζου με νικῆσαι, δίκας παρὰ σοῦ λαβεῖν, ζεὺς ἤδη παρεικότα· μηδὲ ἐμπαράβαλλου τῇ σαυτοῦ ψυχῇ ὡς οὐκ ἀλλότριον φαλάριδος ἔλεον. εἰ καὶ πάνυ τοῦτο στέργεσθαι παραιτησάμενοι, τῇ τοῦ τυράννου χρησόμεθα ὀργῇ.

## Ἀριφοίτῃ. CXVIII.

μ Ἢ λογίζου τὸν ἀριθμὸν τῶν εἰς τὸν ταῦρον ἀνηλωμένων. πλείους γάρ εἰσιν, ἐὰν τὰς πράξεις αὐτῶν ἐξετάσῃς, ἢ τὰ ὀνόματα. ἀλλ᾽ ὅμως καὶ τοῦτοι ὄντες ὑφ᾽ ἡμῖν ἐγένοντο· σὲ δὲ οὐκ ἠξιοῦμεν, οὔτε νεώτερον ὄντα, πρεσβυτέρους ἐπαναιρεῖσθαι φροντίδας. δυστήνους γὰρ δείκνυμεν, τοὺς ἡμῖν ἀντιπράξαντας. ἐπεὶ δὲ ὀρέγῃ μεταβολὴν τοῦ βίου ἰδεῖν, παύσασθαι μὲν ἔτι παραινῶ μὰ τοὺς θεοὺς, οὐχ ὡς δεδιὼς ὑπὸ σοῦ κακόν τι παθεῖν. οὐ γὰρ ἐκ γυναικείας χειρὸς τυραννοκτονηθήσεται φάλαρις. ἀλλ᾽ ἵνα μὴ καὶ σὺ συναριθμὸς τῶν εἰς τὸν ταῦρον γεννηθέντων γένῃ, καὶ διαβολῆς ἀδίκου μέρος εἰς ὠμότητα, τιμωρηθεὶς ὑπ᾽ ἐμοῦ. ἐὰν δὲ μὴ πείθῃ, τάχα σὺ σφόδρα προσδέχου, καὶ πεῖ ταύτης ἡμῖν τῆς παραινέσεως, ἐκτίσαι δίκας.

## Τιμολάῳ. CXVIIII.

τ Ὁ μηδὲν ἁμαρτάνων, εἰκότως ἴσως, καὶ δικαίως θεὸς νομίζεται· τὸ δ᾽ ἁμαρτόντα, τοῦτο αὐτὸ πρὸς τὸ μέλλον σεσωφρονίσθαι, ἀνθρώπου· τὸ μέντοι μηδὲ πταίσαντα καὶ ἀτυχήσαντα πεφυλάχθαι, οὐκ οἶδα ἄλλου τινὸς ὑποληφθῆναι δυνάμενον, ἢ κακοῦ. αἰσχρὸν οὖν. ἔτι γὰρ ἐπίσιον προσελαυνόμεθα, ἑτέροις παράδειγμα τῆς ἀβουλίας γενόμενον, αὐτὸν ἑαυτῷ, μηδ᾽ ἐκ τῆς οἰκείας συμφορᾶς χρήσιμον γενέσθαι.

Φαιδίμῳ. CXX.

π Ε πείσμεθα τὸ λοιπὸν ἤδη, μηδὲν ἀδικεῖσθαι ὑπὸ σοῦ. καί τοι χαλεπώτερον ταῖς αἰτίαις, ἐφ' ἑκάστῃ κατηγορείᾳ περιεσχημένου. ἀλλ' οἷον ἐβουλόμεθά σε, καὶ δίκαιον ἦν περὶ ἡμᾶς εἶναι, τοιοῦτον ᾠήθημεν γεγονέναι. τοὺς δὲ τῶν κατηγορούντων λόγους ψευδεῖς ἐνομίσαμεν, παρ' ὅσον ἐδείσαμεν ἐλέγξαι περὶ σοῦ τὴν ἀλήθειαν. εὖ μέντοι ἴσθι, ὅτι καὶ τὸ μηδὲν ἀδικεῖν, ἐν αἰτίᾳ πολλάκις ἐνεχθὲν, ἀσφαλὲς αὐτοῦ τοῦ δαίμονος ἔδοξαν, οἱ περὶ αὐτὸν δεδιότες κεκολάσθαι. φρόντιζε οὖν, ὅπως μήτε τὸ λοιπὸν ἡμῖν τὸν σεαυτοῦ ἐχθρὸν παρέξῃ, μήτε τὴν τύχην χαλεπὴν δέ σοι δοξάτω μὴ τοῦτο μόνον, εἰ πολλάκις ὑπὸ ἐμοῦ, καὶ ἐφ' ἑκάστῃ γε ἀδικίᾳ ὧν παθὼν, οὐ τοῖς ὁμοίοις ἡμᾶς ἀμύνῃ. ἐγὼ μὲν γὰρ, οὐκ ἐάσω συνεχείας χρηστότητα ἐνέγκασθαι δευτερεῖα. ἀλλὰ μηδὲ σὺ σαυτὸν πρός με εὐεργετεῖν βεβουλημένον, ἀνεπιεικέστερος ὀφθήσῃ.

Φιλοδήμῳ. CXXI.

ε Ν μεγάλην μοι δοκεῖς ἀληθείᾳ καθεστάναι, Φιλόδημε. εἰ τὸ σαυτῆς ἀρχὰς οἴει, καὶ σπουδὰς ἡμῖν ὑπὲρ σοῦ, ὡς οἴκαδε ἀπονοστήσης γενέσθαι, περὶ τῶν πέντε ταλάντων, ὅπως ταῦθ' ἡμῖν σωθείη, ἀλλὰ μετὰ τοῦ μηδὲν ἐλπίζειν περὶ σοῦ χρηστὸν ἀπεδώκαμεν, ἀλλ' οὐκ αὐτοῦ σου τῆς ἑταιρείας. τοῦτο δὲ μὰ τοὺς θεοὺς, οὐδενὸς πλήθους ἐστὶν αὐτὰ ἄξιον. εἰ δὲ πάντως θέλεις παρὰ σαυτοῦ δοκεῖν ἐκπεποιῆσθαι τοῦ παιδὸς, ἔστι μὲν, οὐδὲν ἧττον καὶ ταῦτα ἐκ τῶν σῶν. εἰ δ' οὐ δοκεῖ, προσθεὶς ἐκείνοις τοῖς πέντε ταλάντοις, τὰ παρὰ σαυτοῦ τοσαῦτα, τὴν προῖκα δέκα ταλάντων ἀνάγραψον. ἵν' εἰ βούλει τῆς προικὸς, ὃ μέν τι τῆς Φαλάριδος εἴη χάριτος· ὃ δὲ τῆς Φιλοδήμου περιουσίας. μαρτυροῦσα δ' ἡμῖν πρὸς σὲ, πολλὰ καὶ μεγάλα Θεανὼ, χαρᾶς ἡμᾶς ἀναπίμπλησιν. ἀγαθὰ ὅτι παῖς οὖσα ἔπασχε, μήτηρ γινομένη μαρτυρεῖ.

Ἀγησιλάῳ. CXXII.

ή Τελεσίππη, χαλεπῶς ἔοικέ σου φέρειν τὴν ἐν Συρακού-
σαις μονήν. εἰς τοσοῦτον δὲ ἀπάγχουσα, φιλάνδρου καὶ
σώφρονος ἔργον γυναικὸς ἐμαρτύρατο ἡμᾶς, καὶ κατὰ σοῦ
τὴν ἀρχὴν πικρὰν ἔχοντας, οὐκ ἀνέξεσθαι φάσκουσα εἰς πλεί-
ω σε ἀπόντα, ἀλλ᾽ ἐπιβοησαμένη τὸν ἑαυτῆς πατέρα. γνώσῃ δὲ
ἴσως ὃ βούλεται πράττειν. ἀλλ᾽ εὖ ἴσθι, καὶ ποιήσειεν ἄν. οὐ γὰρ οἷά τέ
ἐστι δύνασθαι περιορᾶν ὡς ἀβίωτον ἑαυτῆς ἄνδρα νενομισμένον.
κἀκείνη μὲν, ἐμὲ ἠξίου δύνασθαι ἐπανήκειν ἀναγκάσαι. ἐγὼ
δὲ ἐκείνην. οὐ γὰρ οὕτως οἴομαί σε φάλαριν φοβεῖσθαι, ὡς Τελε-
σίππην φοβεῖσθαι. ἐπάνηκε οὖν, καὶ τοῖς ποθοῦσιν ἀπόδιδου
σαυτὸν, εἴθ᾽ ἡμᾶς αἰσχύνῃ μᾶλλον, εἴτ᾽ ἐκείνην, ἀξίαν οὖσαν νὴ
τοὺς θεοὺς, ἀγαπᾶσθαι πλέον.

Πολυμνήστορι. CXXIII.

π Ολλάσοι καὶ μεγάλα πρὸς ἡμᾶς ἐμαρτύρει λάκειτος
καὶ περὶ τὰ ἄλλα μὲν ἅπαντα. μάλιστα δὲ περὶ τῆς συμ-
μαχίας τῶν πελτοφόρων. τῇ γὰρ σῇ σπουδῇ, καὶ τῇ τῶν ἀγωνισα-
μένων ἀνδρῶν, τὸ χωρίον ἁλῶναι ἀποφαίνει. καὶ τοὺς ἰδίους ἵπ-
πους, ὡς ἔοικέ σοι παραχωρῶν ἀνακεῖσθαι. ἐγὼ δὲ, εἰ μὲν ἐ-
λάμβανες τὰς παρ᾽ ἐμοῦ δωρεὰς πάσας, ἐδεδοίκειν ἂν καὶ οὐ τόσον
μὰ τοὺς θεοὺς, μὴ ἡττῶμαι τῆς φιλοφροσύνης τῆς παρὰ σοῦ. νῦν
δέ σου καὶ τὰς χάριτας, οὐ καθ᾽ ὃ πέμπονται ἀποδεχομένου, νικᾶ-
σθαι ὁ τύραννος ὁμολογῶ, ἰδιώτου ἑνός. εἰ μέντοι τὸ παρὸν
μὴ δέξῃ τὰ λάφυρα τῆς λείας, διανεῖμαι τοῖς στρατιώταις, ἃ καὶ
λακείτου διδόντος παραυτίκα, οὐχ οἷός τε ἐγὼ οὐ λαβεῖν, εὖ
ἴσθι ὀκνηροτέρους ἡμᾶς γενέσθαι οὐκ εὐπορεῖν. τοῦτο μὲν γὰρ
οὐκ ἦν ἡμῖν ἐπὶ σοῦ. ἀλλ᾽ εὖ πάσχειν ὑπὸ σοῦ πρὸς τὸ ἐπιὸν ἀ-
ναγκάσεις.

Τῷ αὐτῷ. CXXIIII.

ε Δείσας ἡμῶν τὰς ἀπειλὰς, τοῦ μὴ δὲ αὖθις δεήσε-
σθαι, παρότι καὶ τὴν λείαν διένειμας ὡς ἠξιοῦμεν, ἀ

πολλοὺς τοῖς κτήσασι τῶν κινδύνων τὰ ἆθλα, καὶ καλῶς. ηὔφρανας τε γὰρ, καὶ ἐπέρρωσας, μηδὲν ὀκνεῖν αἰτεῖσθαι παρὰ σοῦ, καὶ τοὺς ἄνδρας, ὅταν δέοι ἀγωνίζεσθαι, προθυμοτέρους ἐποίησας. τίς γὰρ ἂν ἕλοιτο σήκωμα τῶν πόνων χωρὶς, οὐδεὶς, ὅστις ἂν ὑποσταίη τοὺς καμάτους. ἄλλοις μὲν οὖν, καὶ ταῦτα ἐκόμισω, οὐ μὴν. ἀλλὰ καὶ λαμβάνων εἰς τὸ ἐπιτηδείους ἡμῖν κατασκευάζειν τοὺς στρατιώτας. ἐὰν εἰς τὰ μέλλοντα δεηθῶμεν καὶ ταῦτα λαμβάνειν ἔοικας.

## Ταύρῳ. CXXV.

τ Οὓς μὲν γάμους ἤρχθαι τῆς φιλοδήμου θυγατρὸς, θᾶττον, ἢ σὺν νῷ ἡμῖν ἐπιστείλας ἔτυχες, ἠκούσαμεν. φθάνει γὰρ ἡ φήμη, καὶ τοὺς πάνυ πολλῇ σπουδῇ πειρῶντας μηνύσεις κεχρημένους, ἐπεὶ ταχεῖα τῶν γιγνομένων, καὶ διὰ μακροῦ τὸ πραχθὲν κομίζει, ἄγγελος ἡ θεός. καὶ ἡμεῖς τάχα ἂν εἰκότως ἐμεμψάμεθα αὐτὴν, ποιοῖ δὲ παραδεδόσθαι, καὶ διὰ τὰ ἄλλα μὲν ἀδίκως εἰς τὸ σαυτὴν ὠμότητα διαβαλλόμενοι, οὐχ ἥκιστα δὲ, καὶ διὰ ταύτην κατεγνωσμένοι. φέρει γὰρ ἡμᾶς, κακοὺς πανταχόθεν περιβοῶσα τοῖς ἀκουομένοις, καὶ διὰ ταύτην, οὐδὲν δόντες ἐμὲ τῶν νεῶν ὄντων τινὲς, ὅτε πειραθέντων, ὡς ἐπ' ἀνθρώπων γενῶτα ὀλέθρῳ περιβέβληνται. ταῦτα μὲν οὖν ἐμὰ τὰ λαιπορήματα. καὶ οὐδενὸς ἑτέρου. τὴν δὲ οἰκίαν, εἰς ἣν ἐτελέσθησαν αἱ πρῶται σύνοδοι, λέοντί τε, καὶ θεανοῖ, κρατεῖν αὐτοὺς ὡς ἔχουσιν ἐπίτρεπε. μὴ δὲ ἂν ἴσα τὸν ὑμέναιον ἀπὸ τῆς ἑστίας, ἔνθα ἤσθη. ἄξιον τὸ δώρημα τοῖς κομισαμένοις, ἀπ' ἀρχῆς νενομίκαμεν. φίλτατα γὰρ τὰ χωρία τοῖς νυμφαγωγηθεῖσιν, ἔνθα αὐτὰ πρῶτα θεσμὰ ἀποθοῦνται παρθενίας. φθόνου δὲ συρακουσίοις μᾶλλον ἄξιος φιλόδημος, ἢ ἐλέου κειθῆτο. καὶ μηδεὶς ἀτυχῆς οὐδὲν ἀδαιμονίας μοῖρα, ὡς ἐκείνου ἐν κακοπραγίᾳ τύχης, τοῖς φθονοῦσι νομισθήτω. Φάλαριν δὲ μισείτωσαν ἅπαντες, οὐ γὰρ παραιτοῦμαι μι-

τος ἀζήμιον. ἀρχέσθωσαν δὲ καλῶς κατὰ σφᾶς, καὶ μή τισι προσποιοῦνται, τοιούτων καὶ αὐτοὶ λαβέσθαι φίλων.

Τιμάνδρῳ. cxxvi

τ ἀπολυτίματά σου τὰ ἐν Καμαρίνῃ, Τίμανδρε. καὶ ὁ πολὺς οἰκτισμός, ὑπὸ τοῖς ὑφ' ἡμῶν ἀπολουμένοις, ἐπέρρωσέ με, μὰ τὸν Δία, οὐδὲ βουλομένους, τοὺς περικλεομένους ἐνεῖρξαι τῷ ταύρῳ. ἐδεδοίκειν γάρ, ἄδειαν αὐτοῖς τῷ χορηγήσας, παῦσαι κατ' ἐμοῦ τὴν πόλιν ἀνιστάντα. ἡδέως γὰρ ἐμαυτὸν πολίτευμα παρέχω τῷ δήμῳ, ἕως οὐκ αἰσχύνονται Καμαριναῖοι τῶν ἀνεχόμενοι λόγων. οὐ γὰρ πολιτεύματα, οὐχ ὅπως τὸ Φαλαρεῖν ἀμήχανα, ἀλλ' οὐδὲ τὸ οἰκέτην Φαλάριδος αὐθεῖλῃ. καὶ χαλεπὸν μέν, εἰ καὶ πάνυ συνέφερεν αὐτοῖς, πολεμεῖν Ἀκραγαντίνοις, τὸ πεισθέντας ἅψασθαι τῶν ἔργων. νῦν δὲ ὁ πόλεμος αὐτοῖς, τῷ παντὶ βαρύτερος τοῦ συμβούλου, μᾶλλον δ' οὐ δημηγόρος. οὐδὲ μικρὰ ῥοπὴ τῆς τούτου ταλαιπωρίας, ἐγείρειν μέντοι τὰ πλήθη, λέγοντα τὰς αἰτίας ἥρμοζεν. ἵν' ἡ πεισθεῖσα πόλις ὑπὸ σοῦ στρατεύεσθαι, πολεμικοῦ σφόδρα ἀναγράφηται, ὑπὲρ οἷα πεπραχότων τιμωρὸς ἀνίσταται. ἀλλ' οὐκ ἐθέλετε. καθ' ἕνα γὰρ ὑμῶν ὀνομαζόντων πολλὰς αἰτίας, ἅπερ τιμωρίας ἔξω δείκνυτε. ἀλλὰ μὴν εἴ τις ἀφεὶς τοὺς ἐντελεῖς, διὰ τὸ μὴ δοκεῖν ὅσιον, αὐτόν σε σκέψαιτο, τοῦ πάντων χαλεπωτέρου τυχεῖν ὀλέθρου, νομίσειεν ἄξιον εἶναι. ὃς ἀποδόμενος τὴν οἰκίαν, καὶ τὰ χωρία, ἃ ἔτι σοι πατρῷον ἦν ἀνδράποδον, στρατιὰν ἐπ' ἐμὲ μισθοφορεῖς, καὶ Καμαριναίους νεώτερα ἀναγκάζεις φρονεῖν. ταῦτα δὲ ποιῶν, οὐδὲν ἀλλ' ἢ σαυτοῦ μὲν ἀπέγνωκας, ἄξιον ἴσως ὄντα. πολλὰ γάρ σοι καὶ δεινὰ πέπρακται. βιάζῃ δὲ τὴν πόλιν, τῆς σῆς ἀφροσύνης οὐκ ἐπαΐουσαν ἀπολαῦσαι.

Ἐννέοις. cxxvii.

ἐ κ πολλοῦ πάνυ χρημάτων, ὧν ἐδανείσασθε παρ' ἐμοῦ, ὀκτὼ τά-

λαντα

λαντα μόνον ἀποδοῦναι πείσαντες, καὶ ταῦτα ἐν τοῖς μάλιστα καιροῖς χρημάτων ἐδεόμην ἐπικουφισθέντες, οὐδὲ περὶ ταῦτα ἀπῃτήκατε. ἀλλὰ τέσσαρα μόλις ἀχθόμενοι, καὶ στένοντες διελύσασθε. τέσσαρα δὲ ἀκμὴν κατέχετε. τὰ μὰ τοὺς θεοὺς, οὐχ οὕτω περὶ τούτων ἄχθομαι, ὡς περὶ τοῖς ἀφεθεῖσι χάρισι. ἡμῖν γὰρ χρεωκοπία ὑμῶν, ἐὰν ἐπιβλέπωμεν τοῦτο, τεσσάρων μόνων ταλάντων ἔχει ζημίαν. ἡ δὲ ἀχαριστία, ὑπὲρ δεκατάλαντον τὴν βλάβην. ὁμοίως γὰρ καὶ ταῦτα ἀποδώσειν ὑπισχνεῖσθε. καὶ τὰς περὶ ἐκείνων εἰδέναι χάριτας ὁμολογεῖτε. ὥστε οὐδεμία περὶ τῆς ἐν ὑμῖν οὔσης ἀχαριστίας χρηστὴ ἐλπίς. εἰ τὴν ἐφ' ἡμῖν οὖσαν κομιδὴν, οὐχ οἷοί τε ἐγένεσθε ἐκτίνειν. οὐ μὴν, ἀλλ' εἰ καὶ ταύτης ἐστὶ τῆς γνώμης, ἐγὼ πυνθανόμενος ὑμᾶς παρὰ τῶν πρέσβεων ἐνδεῶς ἔχειν, καὶ ἐκ τῶν ἰδίων οἴκων εἰσφέρειν, ἀφίημι καὶ τούτων τὴν πόλιν. μᾶλλον δὲ, εἰ καὶ τὰ ἀποδοθέντα βούλεσθε λαμβάνειν, ἀναπέμπειν ἕτοιμός εἰμι, εἰ μέλλετε ἐπωφελεῖσθαι, ἢ μὴ οἱ τὰ τοῦ δήμου κλέψαντες, ἐξ ὧν ὑμεῖς κοινῇ φέρεσθε, καὶ ταῦτα οἴσονται. τὰς δὲ ἀναστάσεις τῶν εἰκόνων, ἃς δ' εὐεργεσίας ἀμοιβὴν εἰς ἐμὲ πρεσβεύοντες ἐπαγγέλλεσθε, μὴ φιλοτιμεῖσθε. μετὰ γὰρ τὴν ἐμαυτοῦ, καὶ τὴν εἰς ταῦτα ὑμῖν χαρίζομαι δαπάνην.

Λυσάνδρῳ. cxxviii.

Ἐφθάκαμεν τῇ παρὰ σοῦ πεμπομένῃ συμμαχίᾳ. πρὶν γὰρ ἐλθεῖν τοὺς παρὰ Διοκλείδου στρατιώτας, εἴδομεν τοὺς πολεμίους. ὥσθ' ἡμᾶς, εἰς μὲν τὴν μάχην, ὑπὸ τῶν μισθοφόρων ὑστερησάντων, μηδὲ τι οὖν ὀνηθῆναι. εἰς δὲ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, πλεῖστον. εἰς ὀλίγους γὰρ ἡμῶν τοὺς ἀγωνισαμένους, οὐκ εἰς ἅπαντας ἡ νίκη ἀνάκειται. κινδύνων δὲ μειζόνων μετασχόντες, ἐπάθλων λαμπροτέρων ἐτύχομεν.

ο Ὑκ ἀχθόμεθα τῇ διαβολῇ, οὐδὲ τῇ δόξῃ, ἣν ἔχουσιν ἐπ' ἐμοὶ οἱ νῦν ἄνθρωποι. ἰδὼν γὰρ ἐν ἴσῳ τὸ ἀδικεῖν, μᾶλλον δὲ πολλῷ δικαιότερον ἤδη τοῦ δικαίου νενομισμένον τὸ ἄδικον, τοσοῦτον ἀπέχω τοῦ ἐπικρύπτεσθαι, ὥστε ἐπ' αὐτοῖς παῤῥησιάζεσθαι. ὅτι τοῖς μὲν ἄλλοις φύσει τούτοις, ἐμοὶ δὲ ἀνάγκη συμβέβηκεν. φημὶ γὰρ, καὶ ἡμῖν τὰ παράνομα προσεγγῦησθαι πάθη, καὶ τοῖς ἄλλοις ἅπασι τὸ αὐτὸ ἔμφυτον εἶναι. διαφέρει δὲ ἑνὶ τούτῳ, ὅτι ἡμεῖς μὲν τύραννοι δοξασθέντες, ἔχοντες ἐξουσίαν, ὁμολογοῦμεν. ἐκεῖνοι δὲ ἰδιῶται ὄντες, παρόσον δεδίασι δίκην δοῦναι ἀρνοῦνται.

Πολυστράτῳ. CXXX.

ε Γὼ τῶν μὲν ἀπεπομφθότων ὑπ' ἐμοῦ, οὐδένα ἂν εἴποιμι, οὔτε πρὸς σὲ, οὔτε πρὸς ἄλλον ἀνθρώπων οὐδένα. οὐ γὰρ δή που, ἵνα σὺ δέξαιο τὰς παρ' ἡμῶν δωρεάς. ἃς πέμπομεν παρορᾷς, τὸ καὶ ἑτέρους πολλοὺς ἐπιδείκνυσθαι λαβόντας, πρέπον ἐστί. πρὸσετι, καὶ ἀνυπόπτως, τοῖς λαβοῦσιν ὀνειδιοῦμεν. οὐ γὰρ οἰόμεθα ὀνείδους ἀπηλλάχθαι, οὔτε ἂν αὐτός τις ἕκαστος, ἰδίας εὐεργεσίας διεξίοι, οὔτε ἂν ἑτέρων λεγόντων ἀκούειν ἐθέλοι. ὅσοι μέντοι παρὰ τὴν ἡμετέραν γνώμην, βίᾳ, καὶ ἀδικίᾳ πολλὰ τῶν ἐμῶν ἀπώλεσαν, ἔξεστί σοι λογίσασθαι. καίτοι πολλοὺς ἂν σφόδρα εὕροις περὶ πλείστου ποιησαμένους τὰ δίκαια κατασχεῖν. ἔπειτα ἀρτίσαντας οὐχ ἑκουσίως, ἀνάγκῃ, καὶ φόβῳ πολέμου, καὶ ὅπλων. τινὲς ὁσιώτατα, ἀλλὰ καὶ πάντων εὐσεβέστατα κατέχον, ἐφ' ὅσων ῥώμης μετεποιοῦντο. οὐ γὰρ δή που πρὸς τὸ πόσα χρήματα καὶ ἐν ἀγῇ, μετὰ κινδύνων τοσούτων κατασχεῖν ὑπέμειναν. ἃ καὶ ἀναγκαζομένους λαβεῖν, ἐχρῆν ἀπώσασθαι. τίνα οὖν σὺ πρὸς διὸς ὑποτυπούμενος, οὐκ ἤθελες τὴν δωρεὰν λαμβάνειν. ἐπεὶ καὶ αἱ προφάσεις, ἃς σὺ προσποιούμενος ἔλεγες προβεβλῆσθαι, καὶ τούτῳ τῷ τρόπῳ, καὶ μυρίοις ἑτέ-

ροις λύονται. μαρτυρεῖται γὰρ ὑπ' αὐτῶν τῶν ἐχθρῶν τὰ χρή-
ματα καθαρὰ εἶναι, εἰ μὴ τούτῳ δηλοῖ σοι, ὅτι ἐκεῖνοι μὲν, διὰ
δίκης ὀνόματος τῆς ἁρπαγῆς, ἔχειν ἐβιάζοντο, καὶ τοῦτο προστι-
θέντες τῷ ἀσεβεῖν. σὺ δὲ μετὰ τοῦ δικαιοτάτου λήψῃ. φίλου
πιστοῦ διδόντος ἑκουσίως.

Ἀτεμόρτῳ. CXXXI.

Σθόμιον ποτὲ ὦ ἀτέμορτε, ὅπως περὶ τῶν κατ' ἐμαυτὸν
ἐβουλευσάμην. πολλὰ μὲν καὶ ἄλλα ἠνίασεν ἡμᾶς ἡ
περίβλεπτος αὕτη μοναρχία, περὶ ἧς ὁ ἄθλος ἐγὼ, τοὺς πολ-
λοὺς πόνους καὶ κινδύνους ὑπέστην ἑκών. μέγιστον δὲ εἶναι τῆς
τούτου κακοῦ ἐπειράθην, εἰ μὴ δὲ ἃ παθεῖν τις ὑφ' ἡμῶν ἐπι-
εικὴς ἀνὴρ βούλεται. ἀλλ' ἀνάγκη πᾶσα, ἂν δέῃ σοι χαρίσασθαι
τινὶ τῶν δεομένων, τοῖς ἐξωλεστάτοις χαρίζεσθαι. οἱ γὰρ ἀγνώ-
μονες ὑμεῖς, οὐκ οἶδ' ὅπως ἀπεστραμμένοι. τί γὰρ ἄλλο, ἢ δεδία
τε ἃ παθεῖν ὑπ' ἐμοῦ. ἐπεὶ τίνος ἕνεκεν, τοσούτων ἐμοὶ καὶ συμ-
φοιτητῶν γενομένων, καὶ συνεφήβων, καὶ φίλων, οὐδὲ εἷς ἀφῖκται
ὑμῶν, ἀλλ' οὐδὲ ὑπέσχηταί τις ἀφίξεσθαι πρὸς ἐμὲ, πλὴν
καλλισθένους. καὶ ἃ οἶδα γὰρ, οὐδὲ ἐκεῖνος ἀφίξεται. καὶ τοῖς
μὲν ἄλλοις ἴσως, εἰσί τινες ἀποφυγαὶ, τοῦ μὴ δοκεῖν ἀναφαν-
δὸν βδελύττεσθαί μου τὰς δωρεὰς, ὅσους ἐλθεῖν τε κατ' ἀρχὰς
ὡς ἐμὲ, τοὺς μὲν, νόσοι, τοὺς δὲ, πατέρες, πολλοὺς δὲ κωλύει τὰ πο-
λιτικά. σὲ δὲ ἐγὼ ἃ εἰδὼς, οὐδὲ ἐπεχείρησά πω καλέσαι, μέλ-
λοντε μὴ τυγχάνειν. οὐδὲ καλέσαιμ' ἂν ἔτι τὰ μάλιστ' ὤν, τήν
τε ἀρρωστίαν ἀκούων σου, καὶ τοὺς παῖδας, οὓς μετὰ τὸν ἔκπλουν τὸν
ἡμέτερον οἴκοθεν ἐπυθόμην, ἐκ παλλακῆς σοι τε γενῆσθαι. συνή-
σθην γε νὴ Δία, τοῦ πρὸς πλεῖστον ἀνακεῖσθαι, κήδους ἕνεκεν,
καὶ τῆς πολυπαιδίας. τίς οὖν ἀπολείπεταί σοι πρόφασις, τοῦ
μὴ οὐ δεδιέναι σε δοκεῖν. ὅστις ὦ θεοὶ, πέμψαντος ἕναγχος ἐ-
μοῦ σοι, οὐ μὰ τὸν Δία φόρτον ἐπίφθονον, οἷον ἔμελλεν

ὄψεσθαι, παραπεμπόμενον μετ᾽ αὐλῶν καὶ παιάνων πᾶσα
ἡ πόλις, ἀλλὰ χρυσίδιον, καὶ τοῦτο νύκτωρ, ἃ ὡσεὶ πάντα πᾶ-
σιν, σὺ ὥσπερ τι ἄγος, ἢ μίασμα ἰδὼν ἀπόφορον, αὐτόθεν ἀ-
πεστράφης σὺ ὡς εἰκός· κακοῦ γὰρ ἀνδρὸς ἦν δῶρα. καὶ πεφυρ-
μένου φόνῳ ἀνθρώπων. καὶ μεγάλως σχέτλιος εἶ τις, σὺ ἀγνώ-
μων τὸν βότρυν σοῦ ἀπέμορξε. σὺ μέντοι πρὸς ἡμᾶς σὺ ἀνηλεής,
ὃς οὐκ οἰκτείρεις με κακοδαίμονα ὄντα, καὶ διακείμενον οὕ-
τω, ὥσπερ διάκειμαι νῦν ἀθλίως. ὃς οὗπερ ἕνεκα σὺ ὠρέχθην
μάλιστα μοναρχίας, ἵν᾽ ἔχοιμι λαμπρὸς εἶναι πρὸς τοὺς φίλους,
ἐπειδὴ τάχιστα τούτου, κατ᾽ ἀρχὴν παρὰ τῶν θεῶν ἔτυχον, οὐκ
ἔχω πρὸς οὓς ἐλλαμπρύνομαι ταῖς χάρισιν. ἀλλ᾽ ὃ μόνον ἦν
μοι πάντων παραμύθιον τῶν κακῶν, σὺ τούτων με ἀπεστερήκα-
τε οἱ φίλοι, μηδὲ ἐᾶν ποιεῖν μηδένα ὑμῶν ἐπιτρέποντες ἐκ
τῶν πλειόνων. ἀλλ᾽ εἰς ἀνάγκην καθέστηκα μὲν ὦ θεοί, μὴ προ-
σιεμένων ὑμῶν τὰς δωρεάς, οἷς βούλομαι διδόναι τῶν κολά-
κων, καὶ τῶν βωμολόχων τῆς τυραννίδος διδόναι, οἷς οὐ βούλομαι.

## Τεύκρῳ. cxxxii.

τ Ἦν Φιλοδήμου γυναῖκα Κλεαινέτην, οἶσθα δήπου τὴν
λέγω Τεῦκρε, βουλόμενος ὑπὲρ θυγατρὸς γάμων ἰ-
δεῖν, τοῖς ἐν ποσὶν ἐκωλύθην. ἐφ᾽ ἃ καὶ σὲ παρεκάλουν ἥκειν αὖ,
εἴπερ μὴ περὶ τοιαύτης κηδεμονίας ἐγνώκειν ἐν συρακούσαις
καταλιπεῖν. ἔνθεν καὶ περισσότερον αἴσθοιο ἂν σὺ ὡς οὐκ εἰκῆ σοι
περὶ αὐτῶν ἐπιστέλλομεν. μέτελθε ταύτην αὐτός. σὺ πέντε τά-
λαντα ἀνάδεξαι προικὸς τοῦ κήδους, γαμουμένης τῆς παιδός. μὴ
μᾶλλον σὺ ὡς δωρεὰς διδομένης, ἢ χρέος ὀφειλόμενον ὑπ᾽ ἐμοῦ
διορθούμενος. ἐὰν μέντοι πυνθάνηται, πόθεν ἔχομεν φιλοδήμου
τοσαῦτα χρήματα, μὴ φάσκε εἰδέναι, ἀλλ᾽ εἰς ἐμὲ τὸν λαβόντα,
σὺ Φιλόδημον τὸν δόντα, τὸ γινώσκειν ἀνάφερε. σὺ διὰ σπουδῆς
μὲν ἔχε, λέοντα κηδεστὴν ποιήσασθαι. ἀφίκετο γὰρ ὡς ἡμᾶς, με-

τιὼν

πιὼν τὸν γάμον. καὶ γὰρ διὰ τέλους πάνθ᾽ ὑποσχόμενος, ἀπέσταλκα αὐτὸν ὡς σέ. καὶ οὐδὲ ἄλλον τινὰ ἀμείνω εὕρηται νυμφίον ἡ μήτηρ τῆς παιδὸς, ἐκείνῳ τὴν προῖκα ἀναδέχου. καὶ μηκέτι πρὸς Φιλότιμον. οὐ γὰρ ἔφερεν ἡ κηδεστὴ Φιλοδήμου μεμνῆσθαι ὁμολογήσαμεν. οὐδὲ δωρούμενοι χρήματα χαριούμεθα τὸν γάμον. ἀλλὰ πρὸς θεῶν μηδ᾽ ὅτι τὰ μέλλοντα χρῶ ἐπίνην ὡς ἀντιδιδοὺς, ἀλλ᾽ ὡς λαμβάνων πέντε τάλαντα, εἴπερ ἀνδρεῖ τινι ταύτην ζεῦξαι ἐφίεται. αἰσχρὸν γὰρ ἀτυχῆσαι διδόντες, ἔνθα πρόκειται δοκεῖν, τὸ τὸν μὴ δοῦναι χάριν, ἃ προσεποιήθημεν χρήματα, ἑκόντι ἀποτίσαι. οὐ μὴν καταγνοίην γ᾽ ἂν ἐμοῦ τι οὐδέ τι. ὡς ἐγγράφειν τὸν ἥλιον δόξω ζημίαν, μείναντα παρ᾽ ἐμοὶ τὰ χρήματα, καὶ μέγα ὄφελος λαβούσης εἰς τὸν γάμον τῆς παιδός. οὐ γὰρ ὅμοια φρονεῖν δὴ ὡς αὐτοὶ αὖ, μηδὲν εἰδότες περὶ ἐμοῦ. εἴθε δὲ μηδεινότερον ἁπανταχοῦ φάλαρον τὸν τρόπον περιεβόων. πέμπε δὲ τοῖς γάμοις τῇ παιδὶ, θυγατέρας τέτταρας ὁμήλικας, καὶ γυναικείας ἀμπεχομένας, ἃς σὺ φῂς μετὸν σταλείσας ἔχεις. καὶ χρυσοῦς ἑξήκοντα. καὶ ταχέως μὲν ἀχθῆναι παραίνει τοὺς γάμους, ὡς καὶ νῦν βραδέως ἀχθησομένους. προθύμως δὲ πέμπε τὰς δωρεὰς, ὡς ἐπὶ τοῖς φαλάροις, ἰδίας καρπούμενος χάριτας. καὶ ταῦτα μὲν οὕτως ἔχοι τὰ κρεῖττω. τὰ δ᾽ ἄλλα, ὡς καὶ παρθένος δεομένη τῇ παιδὶ, καὶ ἀνδρὸς χηρευούσῃ γυναικί, τίμιος γενοῦ. καὶ προστὰς αὐτῶν τῆς χρείας, μετὰ τῆς ἰδίας κατάθυε τοὺς γάμους, ὡς μάλιστα πολυτελέστατα. μή τις οὐρανοῦ σιωπῶν τῶν προσηκόντων τῇ παιδὶ, ἐν τῇ καλλίστῃ ἡμέρᾳ, ἄθλιον ἀντὶ μακαρίου εἴπῃ Φιλόδημον. ἀλλὰ νικήσωμεν αὐτοὶ τὴν τύχην.

### Κλεαινέτῃ. cxxxiii.

Ὁ Φιλοδήμου πλοῦς ἐπὶ τὴν ξένην, τοῦ σοῦ μὲν ἀνδρὸς, ἡμετέρου δὲ ἀτιμήτου φίλου, σοὶ μὲν εὐκλεῶς ἔοικε παραγενέσθαι. τῇ θυγατρὶ δ᾽ ὑμῶν, εἰκοστὸν ἤδη ἔτος οἰκουρούσῃ, οὐκ εὐτυ-

χῶς. ἡ μὲν γὰρ ἐπ' ἀνδρὶ χηρεία, χρόνους προσλαμβάνουσα, πλείω ἀρετήν. ἡ δὲ ἐπὶ παιδὶ παρ' ὥραν μηκυνομένη παρθενία, διαβολὴν κτᾶται. πᾶσι γὰρ ἀνθρώποις αἴσχιστον δέδοκται, καὶ μὴ διά ὅτι· παρὰ τοὺς τῆς φύσεως χρόνους θυγάτηρ οἰκουροῦσα. πάλαι γὰρ ἐχρῆν καὶ τὸν ἐκείνης βίον, ὥσπερ τὸν σὸν, πρὸς ἄνδρα ἐπαινεῖσθαι. ἴσως μὲν οὖν ἄν τι Φιλοδήμου παραθυμίαν ἤγῃ, παῖδα ἔχειν, ἣν ἐκεῖνος καὶ σὺ ἐγεννᾶσθε. χείριον δὲ, διὰ πόθους γαμέτου, θυγατέρα ἀποστερεῖν γάμων. καὶ οὐχ ὅμοιον τοῦ μετ' ὀλίγον ἥξοντος ἀφαιρεῖσθαι ἀνδρὸς, ἢ οὗ μήπω πεῖραν τις ἔσχηκε καὶ συνήθειαν τοῖς τῆς φύσεως ἀκμαζομένη νόμοις. ὅταν δὲ, μὴ δὲ κεκμηκότων γονέων, μηδὲ δι' ἔνδειαν χρημάτων, ὥσπερ νῦν, καὶ μεγάλης ἀτυχίας τεκμήριον τοῦτο, ὃ μηδαμῶς κατοιωνίζου κλεαινέτη. πεντετάλαντον γὰρ προῖκα κατέλιπεν αὐτῇ Φιλόδημος ἐκ πλέονος παρ' ἡμῖν. καὶ οὐχὶ ταῦτα μόνον, ἔστι γὰρ αὐτῷ κοινὰ, καὶ τὰ Φαλάειδος χρήματα. ὥστε οὐκ οἶδα κλεαινέτη, τί ἂν μέλλοις. οὐ γὰρ οἶμαι δεῖν, μηδενὸς ὑπείζουσαν εἰς τὸν γάμον, τὴν Φιλοδήμου μένειν ἄφιξιν. ὅσα μὲν γὰρ εἰκὸς εἰς τὴν ἐκείνου παρουσίαν ἀναβαλέσθαι, μὴ φθάνωμεν. ὅσα δὲ αὐτὴ κατεπείγει φύσις ἀκόντων ἡμῶν, ἀνοίοντε, μὴ περιμένωμεν. ἐπεὶ τοὺς ὑμετέρους οὐκ ἀναδέχεται καιροὺς, ἡ τῆς παιδὸς ὥρα. τάχα δὲ Φιλόδημος μὲν εἴργεται τοσούτοις, ὅσοις πατέρα εἰκὸς εἴργεσθαι, ἐξώρου θυγατρὸς οὔσης εἰς γάμον. σοὶ δὲ τοῦ κατέχειν οἴκαδε παρὰ τὸν νόμον τὴν παῖδα, οὐδεμία πρόφασις. οὐ γὰρ οὕτως αὐτῇ πατρὸς εἰς τὸ παρὸν δεῖ, ὡς ἀνδρός. σὺ δὲ κατὰ πολλὰς αἰτίας, καὶ μεγίστην τῆς τύχης ἀπόντι τῷ πατρὶ, προσνέμειν οἴει δεῖν, καὶ παροῦσαν τὴν μητέρα; οὔκ, ἐάν γέ μοι πεισθεῖσα, καὶ περὶ ἀνδρὸς ἀτυχῶς, καὶ περὶ θυγατρὸς ἀπρεπῶς βουλεύσῃ. πολλὰ γὰρ καὶ ἕτερα καλῶς, δίχα Φιλοδήμου πράξασα, ἓν τοῦτο ἔτι πάντων κοινὸν ἐργάσῃ ἀγαθὸν, καὶ γυναικὶ σώ

φρονοῦσι, κόσμιον οἶσθα, κηδεύσασα κατὰ τοὺς νόμους τὴν παῖδα. ταῦτα μὲν οὖν χρήματα Τάνηρος οὐ μόνος, ὁπόταν ἐθέλῃς παραριθμήσει. εἰ δέ του καὶ ἑτέρου δεῖ σοι πρὸς τὸν γάμον, ἐκεῖνος ὑπουργήσει. σὺ μόνον ἃ βούλει, πρόσταττε. καὶ Φιλόδημον ἄχου μὲν ἐλθεῖν εἰς τὸν γάμον. ὑπερβάλλου δὲ μηδαμῶς, εἰς ἐκεῖνον ἥξοντα τοὺς τῆς παιδὸς χρόνους, καὶ τοῦ σῶον ἐκεῖνον εἶναι, καὶ παρέσεσθαι. καὶ τὰ ἄλλα μὲν ἔστωσι μαρτύρια. μηδὲν δ᾽ ἧσσον ἡ πρὸς αὐτὸν φιλοφροσύνη.

## Νικοκλεῖ. cxxxiiii.

Ἐπέστειλα μὲν Στησιχόρῳ, ὡς ἠξίους περὶ τοῦ ἐλεγείου, καὶ τὸν τρόπον ὑπεθέμεθα ὡς χρὴ γράφειν. ὁ δέ, ἃς μὲν ἡμῖν τῆς ἑαυτοῦ φύσεως ἐπᾳδώσειν ὑπέσχετο, παραμυθίαν ἴσως ἡγούμενος ἔσεσθαί σοι τοῦ πένθους τὴν σοφίαν. ἡ μὲν οὖν συμφορά, δυσπαρηγόρητος, καὶ βαρυτέρα, ἢ ὥστε λόγοις ἐπικουφισθῆναι. ἐπειδὴ τοῖς ᾠκειωμένοις ὀνόμασιν, ἑνὶ χρόνῳ, περὶ ἑκατέρου ἀνιᾷ. ἀδελφιδῆς τε γὰρ ὁμομητρίας, καὶ γυναικὸς ἀγαθῆς ἀπενοσφίσθης. κάλλει μὲν ἐξοχωτάτης, σωφροσύνῃ δέ, οὐδὲ εἰς δευτερεῖον γυναικὶ μεθεῖσαν τὴν ἑαυτῆς τόπον, ὡς ἐκπέπληγας, καὶ πανταχόθεν ἀπέγνωκας σεαυτοῦ. καὶ τὰς ὀλοφύρσεις οὐ μεταποιούμενος, καὶ τοῦ σώζεσθαι προσποιῇ. χρὴ δὲ μὴ βαρύτερον φέρειν, ἢ δυνατὸν ἐνεγκεῖν τὴν ψυχήν. οὐ γὰρ ἀρετῆς, τοῦτό γε ἄξιον, εἰ πρὸς τὸ πένθος ἀπαλλάξεις σαυτόν. καὶ χρήσῃ ἀνηκέστῳ συμφορᾷ. ἀλλ᾽ ἄγε, ὦ Νικόκλεις, μικρὸν ἀπὸ τῆς ἀνίας μεταστραφείς, σκέψαι τὸν ταλαίπωρον ἀνθρώπων βίον, οἷα καθήρμοσται τάξει. γίνεται ἕκαστος ἡμῶν, ἐπὶ μυρίοις κακοῖς. καὶ ταῦθ᾽ ὅταν ἀνύσῃ, τῆς τοῦ ταλαιπωρεῖν ἀνεπαύσατο ἐπιδημίας. τερπνὸν ἡγούμεθα τὸν βίον τοιοῦτον ὄντα παρ᾽ ὅσον οὐδὲν θανάτου πείσεσθαι κάκιον ἢ λυπίκαμεν. καὶ τοὺς τελευτήσαντας οἰκτιζόμενοι, ὅστις περ ὧν τοσαῦτα πάσιν οὐκ ἄξια τοῦ

ἑπόμενοι τούτου, λελήθαμεν ἑαυτοῖς ὑπερρίπτοντες τὰ δάκρυα. αὕτη δίκη ἀνθρώπων νικώσης. καὶ ἐπὶ τοιούτῳ τέλει ἅπαντες ἀναστρεφόμεθα. οὐδὲ ἔστιν ὅντινα τῶν γινομένων, ἕτερον ὑποδέξεται σχῆμα τυραννικώτερον, μοῖρα τὸ τοῦ παντὸς ἀνθρώπου, ἐπ' οὐδενὸς γοητευόμενον. ὁρᾷς ἐμὲ τὸν μόναρχον, ὃν πάντες ἄνθρωποι βιαιότατον ἀποφαίνονται, ταύτης οὐδὲ ἂν με[illegible]νότερον κηρύξωσιν οἱ νῦν ὄντες, οὐκ ἂν περιγενοίμην. οὐδὲν γὰρ τῶν παρ' ἡμῖν χαλεπῶν ὑποστήσεται, ἀλλ' ἄπιμεν, ὅταν ἔνι τὸ χρεὼν τελευτῆσαι. εἴθε δὲ ἐπὶ τοιούτῳ ἐτύχομεν μοναρχίας, οὐχ ὅπως ἑαυτῶν ἀπωσώμεθα τοὺς μόρους, ἡμᾶς μὲν γὰρ ἴσως καὶ πρὸ μοίρας ἀξίους φαίη τις ἂν εἶναι ἀπολέσθαι, καὶ πρὸς ταύτην τὴν ἀξίωσιν, οὐδ' αὐτοὶ ἐναντιούμεθα, ἀλλ' ἵνα τῶν ἐπιεικεστάτων, καὶ ὡς ἐπὶ μήκιστον ἄξιον ζῆν, ἐπέχωμεν τὰ τέλη. ἐπεὶ δὲ ἐκείνη καθ' ἡμῶν, καὶ οὐχ ἡμεῖς κατ' ἐκείνης τύραννοι ἀπεδείχθημεν, ἡ πράως χρὴ φέρειν. οὐ διὰ τοῦτο μόνον, ὅτι εἰς οὐδὲν περαίνονται οἱ γόοι, ἀλλ' ὅτι καὶ τὸ μὲν ἐκείνης δαίμονα, εἴπερ αἴσθοιτό σε, οὕτω κατασμυχόμενον, ἀνιᾶσαι μὲν εἰκὸς αὐτὴν, τὴν πλεῖστα μὲν εὐφράνασαν τὸν ἄνδρα, ἡσθεῖσαν δὲ ἐφ' οἷς ἔχαιρεν ἐκεῖνος, ἄχθεσθαι δὲ ἐν τῷ θανάτῳ. οὐ μὰ τὸν Δία μόνον σὺ τοιαύτης ἀπεσφάλης γυναικός, ἀλλ' ὅτι καὶ ἐκείνη τοιούτου ἐστερήθη ἀνδρός. ἐπεὶ τοίνυν, οὔτε πρῶτος, οὔτε μόνος, τοιαύτῃ ἐχρήσω συμφορᾷ λογίζου τὰ ἀνθρώπινα πράως φέρειν. εἰ δὲ μὴ δι' ἐμὲ, ἑτοίμως πρὸς θάνατον ὑπὸ ποικίλων ἔχοντα συμφορῶν, ἀλλὰ τὴν ἰσότητα τῆς φύσεως, ὅτι πᾶσι κοινὸν τοῦτο, καὶ σφόδρα περιφόβως ἔχουσί τινες. καὶ τοῖς μὴ λίαν ἀχθομένοις πλεῖστα συμβέβηκεν ἀπολαύειν τοῦ βίου.

Στησιχόρῳ. cxxxv.

τ ὸ ἔλαιον ἐπέμψαμεν, ὡς ἐπινοούμενοι μάλιστα σοὶ τὸ πα

ρὸν, ἀλλὰ θυγατριδῶ σου. καὶ γὰρ αὐτὸ τὸ μειράκιον, ἄξιον ἡμῖν λόγου φαίνεται. καὶ τὴν γυμνασιαρχίαν μηδὲν ἧσσον ἀγησιλάου. βουλοίμην δ' ἂν αὐτὸν ἐκτελέσαι τὸ καθ' ἡμᾶς μέρος, τὸ ἀργύρειον τὸ παρ' ἡμῶν, ὃ μὴ σὺ νομίζειν ἐβουλήθης τότε, παρ' ὃν, εἰ μὴ λαβὼν ἔστη νῦν γε, προδοσίαν εὖ ἴσθι, πρὸς ἱμεραίους καταψηφίσομαί σου. καὶ ἔτι παραστῇ. χαλεπώτερόν σου οἶμαι καὶ τοῦθ' ὅπερ προπέμπων εἱλόμην προμήκω ἤδη στησίχορε. καὶ πρὸς τοῖς ἔπεσι, καὶ ἃ σεβαστότερος εἶ πολλῶν, καὶ θαυμασιώτερος, τὰ ἐπιτηδεύματα ταῦτα καὶ στέργε, καὶ τίμα. τῶν ἄλλων περιειμένον ἐνδοῖς ποτ' αὖ κατ' ἄκραν εὐδοκιμήσεις, ὁμοίως τοῖς πονηροτάτοις ἔστι.

Τοῦ αὐτοῦ. CXXXVI

Σ ὑπὲρ ἡμῶν ὦ στησίχορε, μηδὲν μήτε ἐν ᾠδαῖς, μήτε ἄλλοθί ποι λέγε. οὐδὲν γὰρ βούλομαι μᾶλλον, ἢ σιωπᾶσθαι τὰ ἡμέτερα. τῶν δὲ ἄλλων φθόνος οὐδείς, ὑπὲρ ὅσων ἂν αὐτός τε κατὰ σαυτὸν ἐθέλῃς, καὶ ἐπὶ νοῦν ἄγει τὸ δαιμόνιον. πολιτείαν δὲ φεῦγε μάλιστα πάντων, ἡμᾶς ὁρῶν. ὃς ἣν ἵνα μακαριστὸς εἶναι ἐδόκουν πᾶσιν, ἐπὶ τούτοις ἐμαυτῷ σύνοιδα μάλιστα αἰτιώμενος. εἰ δ' ἔγωγέ σοι κατ' ἐμαυτὸν εἰκότα πάσχειν φαίνομαι, μοναρχίας ὀρεχθεὶς ἑκὼν, ὑπὲρ πατρίδος δέ σοι πολιτευομένῳ, καὶ δημοκρατίας, οὐδὲν ἀπαντήσεσθαι δυσχερὲς οἴει, τὸ μὲν καθ' ἡμᾶς ἄφες νῦν. εἰς δὲ σαυτὸν ἀτενὲς βλέψον ὦ στησίχορε, καὶ κατανόησον. οὐ γὰρ ὑπὲρ βελτιόνων τις οὐδὲ καθαρωτέραν ὁδὸν σου βαδίσας, ἥψατο πολιτείας. ἀλλ' ὅμως λόγισαι κατὰ σαυτὸν, οἷα μὲν πρὸ τούτων ἔπαθες, οἷα δὲ μέλλησας παθεῖν, εἰ μὴ τοιοῦτος ἐχθρὸς ἡμῖν ἐγώ. καίτοι καλόν γε, καὶ εὐφρονῇ τις, καὶ κατ' οὖρον φέρηται παρὰ τῆς τύχης, μὴ πάνυ τι πεποιθεῖν αὐτὸν ἐπὶ τῇ τύχῃ. καὶ γὰρ σὺ νῦν αὐτὸς, οὔτε τύραν-

νος ἱμεραίων, οὔτε ἐχθρὸς πᾶσιν, ὥσπερ ἡμεῖς. ἀλλ' ἐν πολιτείαις καὶ φίλοις, ὡς ἐνόμιζες αὐτός, διότι ἐχθροὺς ἔσχες ἡμᾶς. καὶ γὰρ μὴν, οὐκ ἂν τυραννήσας, παρ' ὅν μόνον αὐτῷ, διὰ σέ, καὶ σοῦ στοχαζόμενος. ἀλλ' ὅμως λόγισαι κατανοήσας, πόσα ἂν πέπονθας ὑπ' αὐτῶν. εἰ δὲ βούλει, τὸν ὑπὸ τῶν πολιτῶν, ἀγαθὰ μὲν πλεῖστα πεπονθότα, κακὸν δὲ μηδέν, μήτε μὴν ἀχαριστήσαντα καθάπερ σύ, σκέψαι. καὶ μάθοις ἄν, ὡς ἀνὴρ ἐκεῖνος ὅστις τῶν κοινῶν ἀφέμενος, τῶν ἰδίων προέστηκεν, καὶ ὃς οὐκ ἄλλο τι οἴεται τὸ ἑαυτοῦ πράσσειν, ἀλλ' ἢ σκοπεῖν, ὅπως μάλιστα ἡσθήσεται.

Τῷ αὐτῷ CXXXXII

μ Ἠ φρόντιζε ὦ Στησίχορε, τῆς Ἀβρύλου καὶ Ἀλειφάντου πρὸς μὲ κατηγορίας. μηδ' ὅσον ἀχθεσθῇς, εἰ τὴν καθ' ἡμῶν ἐπιβουλῆς τὴν αἰτίαν, εἰς σὲ ἀναφέρειν, καὶ τὰ σὰ μάλιστα ἔπη ἠξίουν. παρ' ὅσον μὲν γὰρ ἤλθομεν ἐν ἱμέρᾳ κινδύνου, καὶ σὺ οἶσθα. μηδὲν δὲ ἡμῶν ἀνήκεστον παθόντων, ἥδεσθαι προσήκει σοι κατά τε τὴν ἐκείνων αἰτίαν μᾶλλον, ἢ ἀνιᾶσθαι. τῆς τε ῥώμης ἕνεκα τῶν ποιημάτων, ἅ σοι πνέουσιν αἱ θεαί, καὶ ἡμῶν πειρώντων, εἴ σοι ἄρα τι μέλλομεν, ἃ παρεξήτακας γὰρ κατὰ μέλη, πλέον, ἢ τὴν λύραν δυνάμεως ἔχειν. καὶ φάλαριν μεῖζον ἢ τὴν τυραννοῦντος. ἡμεῖς δὲ παρακινδυνεύσαντες ἐχάτως, καὶ εἰς τύραννον ὡρμήσαμεν, καὶ εἰς ἑταιρείαν ἐμείναμεν, καὶ οὐ μεμφόμεθά σε, μελλήσαντες ἀναιρεθῆναι. μᾶλλον δὲ ἀναιρεθέντες. οὐ γὰρ εἰ καὶ ἐτελέσθη τὸ ἄδικον βούλημα, Στησίχορος ἡμῖν παθεῖν ταῦτα ἐπῃνέσατο. σὺ μὲν γὰρ ἴσως εἰπών, κόσμῳ θεοειδεστάτῳ, τυραννοκτονεῖν ἐπαινεῖς, καὶ οὐκ ἀποτρέπομεν, εἴ τις θαυμάσει τὸν λόγον, ἀλλ' οὐ φάλαριν. ἀνδροφονεῖν γάρ ἐστι τὸ τοιοῦτον, ἀλλ' οὐ τυραννοκτονεῖν. οὐ γὰρ οἶσθα, ἄρχομαι πεῖρα παθών. οὐδὲ δρωπίδας, οὐδ' ἄλλος ἐπιεικὴς ἀνὴρ οὐδὲ εἷς,

ἀλλ' οὐδὲ ὅσῳ τὴν ἐν ἡμῖν ζωάς, ἐνέμεινεν ἐν τῷ ἱερῷ καρτερὸς
ἀβούλου, καὶ ἀριφάντου, δυοῖν ἀδίκοιν, εἷς δίκαιος ἐγενόμην
τὸν τύραννόν με περιεσώσατο. κόνων δὲ ὁ κατασπερναθεὶς, καὶ
θεαγόρας ὁ τοὺς ὀλέθρους ἡμῖν μηχανησάμενος, καὶ αὐτιμή-
δης, καὶ περικλῆς, καὶ ὅσοι δὴ τούτοις παραπλήσιοι, ἀνηρέθη-
σαν ὑπ' ἐμοῦ, τῷ δικαιοτάτῳ τῆς ἀμύνης τρόπῳ, οὓς εἰ μὴ καὶ το-
σαύτης ἐξουσίας εἰχόμην, ἀποθανεῖν ἂν εἱλόμην ἀντιτιμω-
ρησάμενος. λεγέτωσαν με μιαιφόνον, ἄθεον, ἐναγῆ, τύραννον,
τοσούτοις περιφυρμένον, καὶ ἀνηκέστοις μιάσμασι, καὶ τὰ τούτων, ἂν δ' ἐννότε-
ρόντι εἰπεῖν καθ' ἡμῶν ἔχωσι, μὴ φειδέσθωσαν. ἐπαινοῦντες γάρ
με, διαβάλλειν ἐοίκασι πρὸς τοὺς χρηστοὺς οἱ πονηρότατοι. τῶν
οἱ μὲν, ἐπυρώθησαν ὑφ' ἡμῶν, ἔμφρουροι τῷ ταύρῳ. οἱ δὲ ἀνε-
σκολοπίσθησαν, ἔνθα ἔμελλον ἐμπρόσωποι ἔσεσθαι τοῖς
λοιποῖς, μηδὲν καθ' ἡμῶν τεκταίνειν κακόν, ἄλλοι δ' ὅπλοις ἐξη-
ράνθησαν. τινὲς δ' ἄκρα περιεκόπησαν, καὶ κατὰ βρόχων ἐλυ-
γίσθησαν. καὶ κεφαλὰς ἄλλοι περιεσκυθίσθησαν. οἱ δ' ὡς ἔτυ-
χεν ἀδικίας προάρξαντες, ὀλέθρου πικροῦ κατὰ δίκην ἐνεφο-
ρήσαντο. δι' οὓς ὁμολογοῦμεν ἀναστῆναι τύραννοι, καὶ οὐκ ἀρ-
νησόμεθα κατὰ πονηρῶν μοναρχίας ὀρεχθῆναι. οὐδὲ παυσό-
μεθά ποτε τῆς ὠμότητος, καὶ ἀπανθρωπίας. πρὸς δὲ τοὺς χρη-
στοὺς ὅμοιοί γε ἐσμὲν ἄρχοντες, οἷοίπερ ἐγενόμεθα πρὶν ἄρξαι.
μὴ δὴ δόξῃς ὦ στησίχορε κατ' ἐμοῦ τι τῶν ἐπῶν, ὅταν κατὰ δυ-
νάστου γράφῃς ἐπιπνεῖσθαι. ὑποδέχου δὲ ἀσμένως τὰς θεάς,
δι' ἡμᾶς μηδὲν τῶν ἐπὶ νοῦν ἡκόντων ἀποδιοπομπούμενος.
ἴσθι γὰρ ὡς μηδεὶς τυραννοκτονήσει φάλαριν ἔξω τῆς ἰδίας
μοίρας, ἣν ἀπὸ νεότητος ἔχομεν καθ' ἑαυτῶν, ἐὰν καὶ τὰ ὑμνο-
πόλων σιγηθῇ μέλη. ὅθεν ἥκουσαν αὐτὴν ἀναγκαίως ὁπόταν
θέλῃ, ὡς ὀφειλομένην ἑαυτοῖς ὁμοίως ὑποδεξόμεθα. τοῖς δὲ πε-
ριαβουλον τυραννοκτόνοις, ἐπεὶ παρὰ ταύτην ἐπεχείρουν, ἆθλα

ἀπεδώκαμεν, οὐχ ἃ παρανόμῳ προσήκει ἀνδράσι κενὴν δόξαν θηρωμένοις ἐπὶ καθαιρέσει μονάρχου, ἀλλ᾽ ἃ παρὰ τυράννου, πλέον ἰσχύοντος νόμων. καταπαρέντες γὰρ εἰς τὴν ἱμεραίων θηρόβοτον ἄχρι τῶν στηθῶν, μετὰ πολλοὺς ἄλλους αἰκίας τρόπους, τῇ λώβῃ διενυκτέρευσαν. σὺ δὲ ὡς ἐπιμήκιστον εὐτυχοίης. ἔρρωσο. καὶ τὸ μὲν μηδὲν παθεῖν τοιοῦτον, οὐκ ἂν συνεύξαιμι θᾶσσον. παρὰ δὲ γὰρ τῆς ἰδίας δικαιοσύνης, τοῦτ᾽ ἔχειν φαίης ἄν. ἀλλὰ μὴ δρᾶσαί γέ τι ἂν ἄγνωστον γενέσθαι, Φάλαριν παραπλήσιον. μέλλοιεν δέ σοι Μυσῶν εὐκλεεῖς χρόνοι. πέμπε δὲ καὶ εἰς ἡμᾶς τῶν ποιημάτων, ἃ τὰς παρ᾽ οὗ σ᾽ ἐπανήσει φροντίδας.

Ἐνναίοις. cxxxviii

Ἐγὼ οἶμαι μὲν καὶ τῆς ἀληθείας ἐμαυτὸν αἴτιον ὑμῖν γεγένημαι. ἀλλὰ περὶ μὲν τῆς ἀληθείας, οὐ μέμφομαι ὑμῖν ἀχαρίστοις οὖσι. τὸ μέντοι ἀργύριον ὃ ἐδανείσασθε, ἀπόδοτε. καὶ γὰρ αὐτὸς ἐν χρείᾳ εἰμὶ οὐ μετρίᾳ. καὶ περιπέμπω χρήματα δανειζόμενος εἰς ἅπασαν Σικελίαν. καὶ οἱ μέν, ἐχαρίσαντο ἡμῖν ὥσπερ Λεοντῖνοι, καὶ Γελῷοι. οἱ δέ, ὑπέσχηνται δανείσειν, ὡς ὑαλαῖοι, καὶ Φιντιεῖς. τί ἂν οὖν πρὸς Διὸς αὐτοὶ ὑπολάβοιτε περὶ αὐτοῦ, τηνικαῦτα ἃ δεδάνεισθε μὴ ἀποδιδόντος, ὁπότε ἄλλοι χαρίζονται τὰ αὐτοῦ, μηδὲν ἀγαθὸν ὑφ᾽ ἡμῶν πεπονθότες. εἰ δὲ πύθοιντο οἱ ὑπεσχημένοι χαριεῖσθαι, ὅτι ἀντὶ τοῦ κομίζεσθαι τὰ ὀφειλόμενα, τοῖς μηδὲν ὀφείλουσι βαρεῖς ἐσμέν. ἆρ᾽ ἔτι δώσειν οἴεσθε αὐτούς; ἐγὼ μὲν γὰρ οἶμαι, μηδὲ τοὺς δανείσειν ὑπεσχημένους, δανείσειν ἔτι. ἀλλ᾽ ἐνθυμηθήσεσθαι, ὅτι ὁ μὴ ἀναπρασσόμενος τὰ αὐτοῦ παρὰ τῶν ὀφειλόντων, οὗτος ἀποτίνειν τοῖς δανείσασιν οὐ βουλήσεται. ταῦτα τοίνυν ἐνθυμηθέντες, εἰ μὴ ἀποτίνητε, αἰδέσθητε. εἰ δὲ μὴ ταῦτα ἀνύσειεν, ἴστε, ὅτι εὑρήσομεν, ὃ ἐπαναγκάσει ὑμᾶς, εἴπερ οἷόν τε ἀπαναγκαζομένους τὰ δίκαια ποιεῖν.

Τέλος τῶν Φαλάριδος ἐπιστολῶν.

## Ἐπιστολαὶ ἀπολλωνίου φιλοσόφου πυθαγορείου.

### Ἀπολλώνιος εὐφράτῃ.

ἐ Μοὶ πρὸς φιλοσόφους ἐστὶ φιλία· πρὸς μέντοι σοφιστάς, ἢ γραμματιστάς, ἤ τι τοιοῦτο γένος ἕτερον, ἀνθρώπων κακοδαιμόνων, οὔτε νῦν ἐστὶ φιλία· μήτε ὕστερόν ποτε γένοιτο. τάδε μὲν οὖν οὖν πρὸς σέ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς· ἐκεῖνα δὲ καὶ πάνυ πρὸς σέ· θεράπευέ σου τὰ πάθη. καὶ πειρῶ φιλόσοφος εἶναι, καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν· ἐπεί σοι καὶ γῆρας ἤδη πλησίον, καὶ θάνατος.

### Τῷ αὐτῷ.

ἡ ἀρετή, φύσει, μαθήσει, κτήσει, χρήσει· δι᾽ ἣν ἕκαστον ἂν εἴη τῶν προειρημένων ἀποδοχῆς ἄξιον. σκεπτέον εἴ τισι τούτων ἐστίν, ἢ σοφιστείας παυστέον λοιπόν, ἢ περὶ ἧς καὶ χρηστέον αὐτῇ πρὸς τοὺς ἐντυγχάνοντας. ἐπείπερ ἤδη σοι καὶ τὰ μεγαβύζου.

### Τῷ αὐτῷ.

ἐ πῆλθες ἔθνη τὰ μεταξὺ τῆς ἰταλίας, ἀπὸ συρίας ἀρξάμενος, ἐπιδεικνὺς σεαυτόν, ἐν ταῖς τοῦ βασιλέως λεγομέναις διπλαῖς. τρίβων δ᾽ ἦν σοι τότε καὶ πώγων, λευκός, καὶ μέγας. πλέον δὲ οὐδέν. εἶτα πῶς διὰ θαλάττης νῦν ὑπερέφθης ἄγων φορτίδα μεστὴν ἀργυρίου, χρυσίου, σκευῶν παντοδαπῶν, ἐσθήτων ποικίλων, κόσμου τοῦ λοιποῦ, τύφου, καὶ ἀλαζονείας, καὶ κακοδαιμονίας. τίς ὁ φόρτος καὶ ὁ τρόπος τῆς καινῆς ἐμπορίας; ζήνων πραγμάτων ἦν ἔμπορος.

### Τῷ αὐτῷ.

ὀ λίγον δεῖ σου τοῖς παισίν, εἰ φιλοσόφου παῖδές εἰσιν. ἔδει μὲν μὴ δὲ φροντίσαι πλείοσι γίνεσθαι τῆς ἵνα

νῶν, ἄλλως τε μετὰ ἀδοξίας τινός. ἐπεὶ δὲ ἅπαξ ἐγένετο, δεύτερον ἂν εἴη, μεγάλη σπουδὴ νεῖμαι τισὶν ἐνιαυτῶν ὄντων. ἔχεις δὲ καὶ πατρίδα, καὶ φίλους.

Τῷ αὐτῷ.

τ

ῶν ἐπικούρου λόγων ὁ περὶ ἡδονῆς, οὐδενὸς ἔτι συνηγόρου δεῖται τοῦ ἐκ τοῦ κήπου, καὶ τῶν ἐκείνου διατριβῆς. πεφώραται γὰρ ὤν, καὶ κατὰ τὴν στοὰν ἀληθέστατος. εἰ δὲ ἀντιλέγομεν στωικομιεῖς τὰς χρυσίππου σχολὰς καὶ δόγματα, γέγραπταί τι καὶ ἐν τοῖς βασιλικοῖς γράμμασιν. ἀφράτης ἔλαβε, καὶ πάλιν ἔλαβεν. ἐπίκουρος δὲ, οὐκ ἂν ἔλαβεν.

Τῷ αὐτῷ.

ἠ

ρόμην πλουσίους τινὰς εἰ περαίνονται. τί δ' οὐ μέλλομεν ἔφασαν. ἠρόμην οὖν καὶ τὴν αἰτίαν τῆς ἀνάγκης. ἠτιῶντο τὸν πλοῦτον. σὺ δ' ὦ τάλαν νεόπλουτος.

Τῷ αὐτῷ.

ἐ

ὰν ὅτι τάχος εἰς αἰγὰς ἀφίκῃ, καὶ κενώσῃς ἐκεῖ τὴν ναῦν, ἰτέον αὖθις πάλιν, ὅτι τάχος εἰς τὴν ἰταλίαν, καὶ κολακευτέον ὁμοίως νοσοῦντας. γέροντας. γραῦς. ὀρφανούς. πλουσίους. θρυπτομένους. μίδας. γέτας. πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν. ἐμοὶ δ' εἴη τὴν ἁλίαν ξυμπᾶν ἐνθέμιδος οἴκοι.

Τῷ αὐτῷ.

ἆ

ρά τι καὶ σὺ γράψαις ἄν; εἰ γὰρ οὕτω γνήσιος γενναῖος, καὶ ἔχοις δ' ἂν εἰπεῖν τὰ συνήθη ταῦτα καὶ πρόχειρα, λοιπὸν ἅπαν Ἀπολλώνιος παραιτεῖται. καὶ τῆς οἰκίας οὐδέποτε πρόεισι. καὶ σωζομένους ἔχει τοὺς πόδας. οὐδὲν ὁρᾶται τοῦ σώματος κινῶν. δι' ὅλου γὰρ τὴν ψυχὴν κινεῖ. κομᾷ τὴν κεφαλήν. καὶ γὰρ ὁ ἕλλην, ὅτι ἕλλην καὶ οὐ βάρβαρος. ἐσθῆτα φορεῖ λινῆν. καὶ τῶν ἱερῶν τὰ καθαρώτατα. μαντικῇ χρῆται. πολλὰ γὰρ τὰ ἄδηλα. καὶ ἄλλως ἀμήχανον, προαισθέσθαι τι τῶν ἐσομένων. ἀλλ' οὐ πρέ-

του φιλοσόφου τὸ τοιοῦτον, ὃ πρέπει καὶ θεῷ. καὶ σωμάτων δὲ ὀδύνας ἀφαιρεῖ, καὶ πάθη παύει τὰ τούτου, καὶ πρὸς τὸν ἀσκληπιὸν κοινὸν τὸ ἔγκλημα. σιτεῖται μόνος, οἱ δὲ λοιποὶ ἐσθίουσι. βραχέα λέγει, καὶ ἐπὶ βραχύ. σιγῆσαι γάρ ἐστιν ἀδύνατος. σαρκῶν ἀπέχεται πασῶν. καὶ θνείων πάντων, διὰ τοῦτο ἄνθρωπός ἐστιν. εἰ ταῦτα ἐρεῖς ἀφραστα γεγράφθαι, ἴσως ἐκεῖνο προσθήσεις, εἴ τι ἦν, ἔλαβεν ἂν ἀργύριον, ὡς ἐγὼ δωρεὰς πολιτείας. εἴ τι ἦν, οὐκ ἂν ἔλαβεν, ἀλλὰ τῇ πατρίδι μὲν, ἔλαβεν ἄν. οὐ πατρὶς δὲ, ἡ μὴ οἶδεν ὃ ἔχει.

Ἀπολλώνιος Δίωνι.

Αὐλοῖς καὶ λύρα κρεῖττόν ἐστι τέρπειν, ἢ λόγῳ. τὰ μὲν γὰρ ἡδονῆς ὄργανα. καὶ μουσικὴ ὄνομα τῇ τέχνῃ. λόγος δὲ τἀληθὲς ἀεὶ σκοπεῖ. τοῦτό σοι πρακτέον. τοῦτο γραπτέον σοι, ῥητέον. εἰ ἦν καὶ περὶ τοῦτον φιλοσοφῆς.

Τῷ αὐτῷ.

Ζητοῦσί τινες τὴν αἰτίαν, δι' ἣν πέπαυμαι διαλεγόμενος ἐν πολλοῖς. εἰδέτωσαν οὖν οἷς ἂν εἰδέναι μέλῃ τὸ τοιοῦτον. ἀδύνατος ὠφελῆσαι λόγος ἅπας, ὃς ἂν εἷς ὤν, μὴ καὶ πρὸς ἕνα λέγηται. ὁ τοίνυν ἄλλως διαλεγόμενος, δόξης ἥττων ὢν διαλέγοιτ' ἄν.

Ἀπολλώνιος καισαρέων προβούλοις.

Πρῶτον εἰς πάντα, θεῶν ἄνθρωποι δέονται, καὶ περὶ πάντος. ἔπειτα πόλεων. τιμητέον γὰρ δεύτερον πόλεις μετὰ θεούς. καὶ τῆς πόλεως προνοητέον παντὶ νοῦν ἔχοντι. εἰ δὲ μὴ πόλις μόνον εἴη, ἀλλὰ καὶ μεγίστη τῶν παλαιστίνης, ἀρίστη τε τῶν αὐτόθι, μετέ-θε, καὶ νόμοις, καὶ ἐπιτηδεύμασι, καὶ προγόνων κατὰ πόλεμον ἀρεταῖς, ἔτι τε ἤθεσι κατ' εἰρήνην, καθάπερ ἡ ὑμετέρα πόλις, μάλιστα πασῶν τῶν ἄλλων ἔμοιγε θαυμαστέα, τιμητέα τε, καὶ ἄλλως δὲ

ὁμοίως παντὶ τοῦτ' ἔχοντι. τοῦτο μὲν οὖν ἐκ λόγου κοινοῦ τὸ προσκειτι-
κὸν ἂν ἦ. τὸ κατὰ σύγκρισιν τῶν πολλῶν. ὅθεν δὲ καὶ ἀρχὴ πόλις
ποτὲ ἦν πρὸς ἐμὰ τιμῆς ἄνδρα πόλις οὖσα, καὶ τοῦτον ἑαυτῆς
ξένον καὶ ἄποθεν, τί ἢ τούτου τοῦ ἀνδρὸς πρὸς ἀμοιβὴν, ἢ ὑμῖν
ἀλλήλοις τισὶν ἄξιον εἴη. τοῦτο μόνον ἴσως εἰ θεοφιλής τις ὢν
τύχοι, διά τινα φύσεως ἐπιτηδειότητα, τὸ εὔχεσθαι τῇ πόλει
τὰ ἀγαθὰ τυγχάνοντε τῆς εὐχῆς. ὅπερ ἂν διατελέσαιμι κἀγὼ
πράττων ὑπὲρ ὑμῶν. ἐπείπερ ἡ καθ' ἣν ἤθεσιν ἑλληνικοῖς, φαί-
νουσι τὸ ἴδιον ἀγαθὸν, καὶ διὰ γραμμάτων κοινῶν. ἀπολλωνίδην
δὲ τὸν Ἀφροδισίου, νεανίαν ἐρρωμένης τῆς φύσεως, ἀξίας τε τοῦ
ὑμετέρου ὀνόματος, πειράσομαι χρήσιμον ὑμῖν παρασκευά-
ζειν εἰς ἕκαστα μετὰ καὶ τύχης τινὸς ἀγαθῆς.

## Σελευκέων τοῖς προβούλοις.

π όλις, ἥτις ἂν οὕτω πρός τε θεοὺς ἔχῃ, καὶ ἀνθρώπων πρὸς τοὺς
ἀξίους ἀποδοχῆς, αὐτή τε εὐδαίμων, καὶ εἰς ἀρετὴν ὠ-
φέλησε τοὺς μαρτυρηθέντας. ἄρξασθαι μὲν οὖν χάριτος οὐ δυσχε-
ρὲς, ἀλλὰ καὶ τῶν ἐν ἀνθρώποις τὸ κάλλιστον. ἀμοιβὴν οὐδ' οὐ μό-
νον ῥᾴδιον, ἀλλὰ καὶ παντελῶς ὁμοίαν εὑρεῖν, ἀδύνατον. τὸ γάρ
που τῇ τάξει δεύτερον, οὐδέποτε τῇ φύσει πρῶτον. ὥστε θεὸν ἀ-
νάγκη παρακαλεῖν ὑπὲρ ὑμῶν, ἀμείψασθαι τοὺς οὐ τῇ δυνά-
μει μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις κρείττους γινομένους. ἀνθρώπων
γὰρ οὐδεὶς, τάς γε τηλικαύτας δυνατός. καὶ τὸ ἐθελῆσαι δ' ἄν με παρ'
ὑμῖν γενέσθαι, τῆς ὑμῶν ἂν εἴη χάριτος καὶ αὐτὸ εἰς ἡμᾶς, ὥστ' ἔ-
γωγ' ἂν εὐξαίμην παρ' ὑμῖν καὶ γεγενῆσθαι οἱ πρέσβεις ὑμῶν τιμι-
ώτεροι. διότι καὶ Φίλοι Ἱερώνυμος καὶ Ζήνων.

## Τοῖς αὐτοῖς.

ζαλζον μὲν ἐξ ἀνθρώπων οἴχεται· πᾶν ὅσον ἦν αὐτοῦ θνητὸν,

ἀπὸ γῆς καταλιπών. χρὴ δὲ τοὺς ἔτι κολαζομένους ἡμᾶς ἐνθάδε ζῆν ἀλλὰ λεγομένους, ἔχειν τινὰ τῶν ἐκείνου πραγμάτων ἐπιμέλειαν. ἄλλοις μὲν οὖν ἄλλο τι ἔργον δίκαιος γένοιτο νῦν, ἢ τὸ ὕστερον. οἷς μὲν, ὡς οἰκείοις, οἷς δ' ὡς αὐτὸ μόνον ἀνδράσι φίλοις, οὐκ ἐν ἑτέρῳ γνωσθησομένους χρόνῳ. τούτων εἴπερ ἦν τῶν ὀνομάτων ἀληθές τι τὸ πρόσθεν. ἐγὼ μέν τοι, καὶ ταύτῃ βουλόμενος ἐξαιρέτως ὑμέτερος εἶναι, τὸν ἐκ Σελευκίδος υἱὸν αὐτῷ γενόμενον Ἀλέξανδρον τε μεταδώσω παιδείας τῆς ἐμῆς. πάντως δ' ἂν μετέδωκα καὶ χρημάτων, ὁ τὰ μείζονα δοὺς, εἴπερ ἔχειν ἦν ἄξιον.

Εὐφράτῃ.

π υνθάνονταί μου πολλοὶ πολλάκις, τίνος ἕνεκεν οὐ μετεπέμφθην εἰς Ἰταλίαν, ἢ οὐ μεταπεμφθεὶς ἀφικόμην. ὥσπερ σὺ καὶ εἴ τις ἕτερος. ἐγὼ δὲ περὶ τοῦ προτέρου μὲν οὐκ ἀποκρινοῦμαι, μὴ καὶ δόξω τισὶν εἰδέναι τὴν αἰτίαν. οὐδ' εἰ δέ μοι μέλει. περὶ δὲ τοῦ δευτέρου, τί ἂν τι δέοιμην ἕτερον λέγειν, ἢ ὅτι ἂν μᾶλλον μετεπέμφθην, ἢ ἀφικόμην.

Τῷ αὐτῷ.

τ ὴν ἀρετὴν ἀδέσποτον εἶναι Πλάτων ἔφησεν, εἰ δὲ μή τιμᾶ τοῦτό τις, καὶ τέγηθεν ἐπ' αὐτῷ· ἀλλὰ τὸ ἐναντίον γίνεται χρημάτων, πολλοὺς δεσπότας ἑαυτοῦ ποιεῖ.

Τῷ αὐτῷ.

μ άγους οἴει δεῖν ὀνομάζειν, τοὺς ἀπὸ Πυθαγόρου φιλοσόφους, ὧδέ που καὶ τοὺς ἀπὸ Ὀρφέως. ἐγὼ δὲ, καὶ τοὺς ἀπὸ Διός, οἶμαι δεῖν ὀνομάζεσθαι μάγους, εἰ μέλλουσιν εἶναι θεῖοί τε καὶ δίκαιοι.

Τῷ αὐτῷ.

μ άγους ὀνομάζουσι τοὺς θεοὺς οἱ Πέρσαι, μάγος οὖν ὁ θεραπευτὴς τῶν θεῶν, ἢ ὁ τὴν φύσιν θεῖος. σὺ δ' οὐ μάγος ἀλλ' ἄθεος.

Τῶ αὐτῶ.

ἡ ρακλεῖτος ὁ φυσικὸς, ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ ἐστὶν ἀληθὲς, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἐν δόξῃ γινόμενος.

Σκοπελιανῷ σοφιστῇ.

π ἔντε εἰσὶ σύμπαντες οἱ τοῦ λόγου χαρακτῆρες. ὁ φιλόσοφος. ὁ ἱστορικός. ὁ δικανικός. ὁ ἐπιστολικός. ὁ ὑπομνηματικός. ἐξ ἡγεμόνων δὲ τῶν γενικῶν χαρακτήρων τῇ τάξει, πάλιν γίνεται πρῶτος μὲν ὁ κατὰ τὴν ἑκάστου δύναμιν, ἢ φύσιν, ἴδιος ὤν. δεύτερος δὲ ὁ ἐν μιμήσει τοῦ ἀρίστου, ὢν ἐκ φύσεως, εἴ τις ἐνδεὴς εἴη. τὸ δὲ ἄριστον, δυσεύρετόν τε, καὶ δυσεπίκειτον, ὥστε οἰκειότερος ἑκάστῳ, χαρακτὴρ ὁ ἴδιος, ἐπείπερ καὶ βεβαιότερος.

Τῶ αὐτῶ

ἔ στι σοι δύναμις, ὥσπερ ἐστί, καὶ φρόνησιν αὖ ἐπικτητέον. καὶ γὰρ εἰ φρόνησις ἦν, δύναμις δὲ ἀπῆν, ὁμοίως ἔδει σοι δυνάμεως. δεῖται γὰρ ἀεὶ τὸ ἕτερον τοῦ ἑτέρου, ὥσπερ ὄψις φωτὸς, καὶ φῶς ὄψεως.

Τῶ αὐτῶ.

β αρβάρων ἀφεκτέον, καὶ οὐκ ἀρκτέον αὐτῶν. οὐ γὰρ θέμις βαρβάρους αὐτοὺς ὄντας εὖ πάσχειν.

Λεσβώνακτι.

δ εῖ πένεσθαι μὲν ὡς ἄνδρα. πλουτεῖν δὲ ὡς ἄνθρωπον.

Κείτωνι.

τ ὸ θειότατον Πυθαγόρας ἰατρικὴν ἔφασκεν. εἰ δὲ ἰατρικὴ τὸ θειότατον, καὶ ψυχῆς ἐπιμελητέον μετὰ σώματος. ἢ τὸ ζῶον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν.

Ἑλλανοδίκαις, καὶ Ἠλείοις.

ἀ ξιοῦτέ με τῷ ἀγῶνι τῶν ὀλυμπίων παραγενέσθαι καὶ διά

τοῦτο ἐπέμψατε πρέσβεις. ἐγὼ δὲ παρεγενόμην ἄν, ἐπὶ σωμάτων θέαν, καὶ ὁμιλίαν, εἰ μὴ τὸν μείζονα τῆς ἀρετῆς ἀγῶνα, καταλείψειν ἔμελλον.

Πελοποννησίοις.

Ὀλύμπια τὸ δεύτερον. καὶ τὸ μὲν πρῶτον ἐγένεσθε πολέμιοι. τὸ δεύτερον δὲ, οὐ φίλοι.

Τοῖς ἐν Ὀλυμπίᾳ θεηκόροις,

Θεοὶ θυσιῶν οὐ δέονται. τί οὖν ἄν τις πράττων, χαρίζοιτο αὐτοῖς; φρόνησιν ὡς ἐμοὶ δοκεῖ κτώμενος. ἀνθρώπων τε τοὺς ἀξίους εἰς δύναμιν εὖ ποιῶν. ταῦτα φίλα θεοῖς. ἐκεῖνα δὲ ἀθέων.

Τοῖς ἐν Δελφοῖς ἱερεῦσιν.

Αἵματι βωμοὺς μιαίνουσιν ἱερεῖς, εἶτα θαυμάζουσί τινες, πόθεν αἱ πόλεις ἀτυχοῦσιν, ὅταν μεγάλα δυστυχήσωσιν. ὢ τῆς ἀμαθίας. ἡράκλειτος δὲ ἦν σοφός. ἀλλ' οὐδὲ ἐκεῖνος ἐφεσίους ἔπεισε, μὴ πηλῷ, πηλὸν καθαίρεσθαι.

Βασιλεῖ σκυθῶν.

Ζάμολξις, ἀνὴρ ἀγαθὸς ἦν, ὁ φιλόσοφος, εἴτε μαθητὴς πυθαγόρου ἐγένετο. καὶ εἰ κατ' ἐκεῖνον τὸν χρόνον τοιοῦτος ἦν ὁ ῥωμαῖος, ἑκὼν ἂν ἐγένετο φίλος. εἰ δὲ ὑπὲρ ἐλευθερίας οἴει δεῖν, ἀγῶνα καὶ πόνον ἔχειν, ἄκουε φιλόσοφος, τουτέστιν ἐλεύθερος.

Νομοθέτῃ.

Αἱ ἑορταὶ, νόσων αἴτιαι. τοὺς μὲν γὰρ πόνους ἀνιᾶσι. τὸ ἐμπίπλασθαι δὲ αὔξουσιν ταμίαις ῥωμαίων.

Ἄρχειν ἄρχετε πρῶτον. εἰ μὲν οὖν ἄρχειν ἐπίστασθε, διατί τὸ παρ' ὑμᾶς χεῖρον ἑαυτοῦ αἱ πόλεις ἔχουσιν. εἰ δὲ οὐκ ἐπίστασθε, μαθεῖν ἔδει πρῶτον, εἶτα ἄρχειν.

Διοικηταῖς ἀσίας.

Τί ὄφελος ἀγρίων δένδρων φυομένων ἐπὶ βλάβῃ, τοὺς κλαδ

δους κόπτειν, ἐᾶν δὲ τὰς ῥίζας.

Ἐφεσίων γραμματεῦσι.

λίθων ἐν τῇ πόλει, καὶ γραφῶν ποικίλων, καὶ περιπάτων, καὶ θεάτρων, οὐδὲν ὄφελος, εἰ μὴ νοῦς ἐνείη καὶ νόμος. νοῦς δὲ καὶ νόμος, παρὰ τούτων ἐστὶν, οὐ ταῦτα.

Μιλησίοις.

οἱ παῖδες ὑμῶν, πατέρων δέονται. οἱ νέοι γερόντων. αἱ γυναῖκες ἀνδρῶν. οἱ ἄνδρες, ἀρχόντων. οἱ ἄρχοντες νόμων. οἱ νόμοι φιλοσόφων. οἱ φιλόσοφοι, θεῶν. οἱ θεοὶ, πίστεως. προγόνων ἀγαθῶν ἐστε· τὰ παρόντα μισεῖτε.

Τοῖς ἐν μουσείῳ σοφοῖς.

ἐγενόμην ἐν Ἄργει, καὶ Φωκίδι, καὶ ἐν Λοκρίδι, καὶ ἐν Σικυῶνι, καὶ ἐν Μεγάροις. καὶ διαλεγόμενος τοῖς ἔμπροσθεν χρόνοις, ἐπαυσάμην ἐκεῖ. τί οὖν εἴ τις ἔροιτο τὸ αἴτιον; ἐγὼ φράσαιμ' ἂν ὑμῖν τε καὶ Μούσαις, ἐβαρβαρώθην, οὐ χρόνιος ὢν ἀφ' Ἑλλάδος, ἀλλὰ χρόνιος ὢν ἐν Ἑλλάδι.

Ἰσαίῳ,

ἀρετὴ καὶ χρήματα, παρ' ἡμῖν ἀλλήλοις ἐναντιώτατα. μειουμένου γὰρ τὸ ἕτερον, αὔξει τὸ ἕτερον. αὐξανομένου δὲ μειοῖ. πῶς οὖν δυνατὸν ἀμφότερα περὶ τὸν αὐτὸν γενέσθαι. πλὴν εἰ μὴ παρὰ τοῖς ἀνοήτων λόγῳ, παρ' οἷς καὶ ὁ πλοῦτος ἀρετή. μὴ δὴ τοσοῦτον ἡμῶν ἀναισθητεῖν, ἐπιτρέπετε τοῖς αὐτόθι. μηδὲ ἕα πλουσίους ἡμᾶς ὑπολαμβάνειν μᾶλλον, ἢ φιλοσόφους. καὶ γὰρ αἴσχιστον ἀποδημεῖν ἡμᾶς διὰ χρήματα δοκεῖν ἐνίων. ἵνα μνήμην ἑαυτῶν καταλίπωσι, μηδὲ ἀρετὴν ἀσπασαμένων.

Κορινθίῳ Βάσσῳ,

ἦν Πραξιτέλης Χαλκιδεὺς, μαινόμενος ἄνθρωπος. οὗτος ἦλθέ ποτε ξιφήρης ἐπὶ θύρας τὰς ἐμὰς, ὑπὸ σοῦ σταλεὶς τοῦ φιλοσόφου, καὶ ἀγωνοθέτου τῶν ἰσθμίων. τοῦ φόνου δ' ἦν μι-

σθὸς δεδεμένος, ἢ τὴν γυναικός σου κοινωνία. καὶ μιαρὲ βάσσε, πολλάκις ἀνερρίφης τῆς ἐχομένου. Τῷ αὐτῷ.

Εἰ πυνθάνοιτο κορινθίων τίς, πῶς ὁ βάσσου πατὴρ ἀπέθανεν, ἐροῦσιν ἅπαντες ἀστικοί, καὶ οἱ μέτοικοι, φαρμάκου τινὸς δόντος, ἐροῦσι καὶ οἱ ὅμοροι, τοῦ φιλοσόφου. καὶ ὁ μιαρὸς οὗτος πτώματι τοῦ πατρὸς ἑπόμενος ἔκλαιεν.

Τοῖς ἐν σάρδεσιν.

Ἀρετῆς μὲν ὑμῖν πρωτεῖον οὐκ ἔστι. ποίας γὰρ ἀρετῆς. εἰ δὲ κακίας φέρεσθε τὰ πρῶτα, πάντες ὑφ' ἓν φέρεσθε. τίνες τοῦτο φήσουσι περὶ τῶν ἐν σάρδεσιν; οἱ ἐν σάρδεσιν. οὐδεὶς γὰρ οὐδενὶ τούτων αὐτόθι φίλος, ὥστ' ἀρνεῖσθαί τι τῶν ἀτόπων δι' ἄνοιαν.

Τοῖς αὐτοῖς.

Αἰσχρὰ καὶ τὰ ὀνόματα τῶν ταγμάτων ὑμῶν. κόδδαροι. ξυελισταῦροι. ταῦτα τοῖς τέκνοις τίθεσθε τὰ πρῶτα, καὶ ἀτυχεῖτε γίνεσθε τούτων ἄξιοι. Τοῖς αὐτοῖς.

Κόδδαροι καὶ ξυελισταῦροι. τὰς δὲ θυγατέρας ὑμῶν, καὶ τὰς γυναῖκας, πῶς ἂν προσαγορεύοιτε. τῶν γὰρ αὐτῶν ταγμάτων εἰσὶ καὶ αὗται, καὶ θρασύτεραι.

Τοῖς αὐτοῖς.

Ὃν δὲ τοὺς οἰκέτας ἐννοεῖν εἰκός. πρῶτον μὲν, ὅτι οἰκέται. εἶθ' ὅτι τῶν ἐναντίων ταγμάτων οἱ πλεῖστοι. κἀκεῖνοι γὰρ, ὁμοίως ὑμῖν ἀπὸ γένους.

Πλατωνικοῖς.

Εἴ τις ἀπολλωνίῳ χρήματα δίδωσι, καὶ ὁ διδοὺς ἄξιος νομίζηται, λήψεται δεόμενος. φιλοσοφίας δὲ μισθὸν, οὐ λήψεται, κἂν δέηται.

Ἐφόροις.

Ἀνδρῶν μὲν, τὸ μὴ ἁμαρτάνειν. γενναίων δὲ, τὸ ἁμαρτάνοντας αἰσθέσθαι. λακεδαιμονίων δὲ, καὶ τὸ διορθοῦσθαι.

Ἀπολλώνιος μουσωνίῳ.

β ούλομαι παρὰ σὲ ἀφικόμενος, κοινωνῆσαί σοι λόγου, καὶ στέγης, ὥστι ὀνήσαιμί σε, εἴ γε μὴ ἀπιστεῖς, ὡς ἡρακλῆς ποτὲ θησέα ἐξ ἅδου ἔλυσε. γράφε τί βούλει. ἔρρωσο.

Μουσώνιος ἀπολλωνίῳ.

ῶ ν μὲν διενοήθης, ἀρκέσεταί σοι ἔπαινος. ἀνὴρ δὲ ὑπομείνας ἀπολογίαν, καὶ ὡς οὐδὲν ἀδικεῖ δείξας, ἑαυτὸν λύει.

Ἀπολλώνιος μουσωνίῳ.

σ ωκράτης ὁ ἀθηναῖος ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς, παρῆλθε μὲν εἰς τὸ δικαστήριον. ἀπέθανε δέ.

Μουσώνιος ἀπολλωνίῳ.

σ ωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἑαυτὸν εἰς ἀπολογίαν. ἐγὼ δὲ ἀπολογήσομαι.

Ἀπολλώνιος οὐεσπεσιανῷ

ἐ δουλώσω τὴν ἑλλάδα, ὥς φασι. καὶ πλέον μὲν οἴει τι ἔχειν ξέρξου. λέληθας δὲ, ἔλαττον ἔχων νέρωνος. νέρων γὰρ ἔχων αὐτὸ παρῃτήσατο.

Τῷ αὐτῷ.

δ ιαβεβλημένος οὕτω πρὸς ἕλληνας, ὡς δουλοῦσθαι αὐτοὺς ἐλευθέρους ὄντας, τί ἐμοῦ ξυνόντος δέῃ.

Τῷ αὐτῷ.

ν έρων τοὺς ἕλληνας παίζων ἠλευθέρωσε. σὺ δ᾽ αὐτοὺς σπουδάζων ἐδούλωσας.

Τοῖς οἰκσόφοις.

ἐ ι λέγει τίς εἶναι γνώριμος ἐμὸς, λεγέτω, καὶ μένειν ἔνδον ἀπέχεσθαι λουτροῦ παντός. ζῶα μὴ κτείνειν. μὴ δὲ ἔδειν σάρκας. ἀπαθὴς εἶναι, φθόνου, κακοηθείας, μίσους, διαβολῆς, ἔχθρας, τοῦ τῶν ἐλευθέρων ὀνομάζεσθαι γένους. ἢ φυλακτέος πλάσματα φέρων, τρόπου τε καὶ ἤθους, καὶ λόγων ψευδῶν, ἀλλοτρίου βίου πίστιν.

Ἰσαίῳ τῷ ἀδελφῷ.

Θαυμαστόν, εἴ με τῶν ἄλλων ἀνθρώπων ἰσόθεον ἡγουμένων,
τινῶν δὲ καὶ θεόν, μόνη μέχρι νῦν ἡ πατρὶς ἀγνοεῖ. δι' ἣν ἐξαι-
ρέτως ἐσπούδασα λαμπρὸς εἶναι. τουτὶ γὰρ οὐδ' ὑμῖν τοῖς ἀδελ-
φοῖς ὡς ὁρῶ γέγονε φανερόν, ὡς εἴην πολλῶν ἀμείνων λό-
γους τε καὶ ἦθος. ἐπεὶ πῶς ἄν μου κατεγνώκειτε χαλεπὴν κα-
τάγνωσιν, ὑπομνήσεως τὴν ἀρχὴν δεομένων, περὶ ὧν μόνων,
οὐδὲ τῶν ἀμαθεστάτων ἄν τις περιμένειε διδαχθῆναι, λέγω δὲ
πατρίδος τε καὶ ἀδελφῶν. καίτοι οὐ λέληθεν ἡμᾶς, ὡς καλῶς
ἔχον ἐστί, πᾶσαν τε γῆν πατρίδα νομίζειν, καὶ πάντας ἀνθρώπους
ἀδελφούς, καὶ φίλους, ὡς ἂν γένος μὲν ὄντας θεοῦ. μιᾶς δὲ φύ-
σεως. κοινωνίας δ' οὔσης, λόγου τε παντὶ καὶ πάσι παθῶν τῶν αὐ-
τῶν. ὅπη τε, καὶ ὅπως ἄν τις τύχῃ γενόμενος, εἴτε δὴ βάρβαρος,
εἴτε καὶ Ἕλλην. ἄλλως τε καὶ ἄνθρωπος. ἀλλ' ἐστὶ γάρ πως τὸ συγγενὲς
ἀκατασόφιστον, καὶ πᾶν ἀνακλητικὸν αὐτοῦ τὸ οἰκεῖον. οὕτως ὁ Ὁ-
μηρικὸς Ὀδυσσεύς, ὥς φασιν, οὐδὲ ἀθανασίαν ὑπὸ θεοῦ διδομένην,
Ἰθάκης προὐτίμησεν. ὁρῶ δ' ἔγωγε τὸν νόμον τόνδε, καὶ διὰ τῶν
ἀλόγων ζώων πεφοιτηκότα. οὐ γὰρ ὁπόσον πτηνὸν καλιῶν ἀ-
πόκοιτον ἰδίων. πᾶν τε βύθιον, παρασυρὲν μὲν ὑπὸ τοῦ φέροντος,
ἐπάνεισι δὲ μηνιμηθέν. θηρία μὲν γάρ, οὔτε λιμός, οὔτε κόρος ἔπει-
σεν, ἔξω φωλεῶν μένειν ἅ τινα τούτων. ἡ φύσις ἤνεγκεν ἄνθρωπον,
καὶ ταῦτα σοφὸν λεγόμενον. ᾧ καὶ πάντα τὰ λοιπὰ γῆ πᾶσα πα-
ρέχει. μνήματα μὲν οὐκ ἔχει δεῖξαι τὰ πατέρων.

Ἀπολλώνιος ἀδελφοῖς.

Εἰ τῶν ὄντων τὸ τιμιώτατον φιλοσοφία, πεπιστεύμεθα δὴ μὲν
φιλοσοφεῖν, οὐκ ἂν ὀρθῶς ὑπολαμβανοίμεθα μισάδελφοι,
καὶ ταῦτα δι' αἰτίαν, ἀγεννῆ τε ἅμα καὶ ἀνελεύθερον. χρημάτων γὰρ
δήπου χάριν ἡ ὑποψία, τούτου δὲ καὶ πρὶν ἢ φιλοσοφεῖν, ἐπειρώμε-

θαι καταφρονεῖν. ὥστε τοῦ μὴ γράφειν, ἀλογώτερον ἂν εἴη πρόφασιν ἑτέραν ὑπονοεῖν. ἐφυλαττόμην γάρ, ἀληθῆ μὲν γράφων, ἀλαζὼν δοκεῖν. ψευδῆ δέ, ταπεινός. ὧν ἑκάτερον ἐπιστήμης ἀνιαρόν, ἀδελφοῖς τε, καὶ φίλῳ παντί. νυνὶ μέντοι καὶ τοῦτο δηλῶ. συγχωροίη γὰρ ἂν ἴσως τὸ δαιμόνιον, ὅτι συμβαλὼν τοῖς ἐν Ῥόδῳ φίλοις, μετ' ὀλίγον ἐκεῖθεν ἐπάνειμι πρὸς ὑμᾶς λήγοντος ἔαρος.

## Γορδίῳ.

Ἠδικῆσθαι φασὶν Ὑστίαιον ὑπὸ σοῦ. καὶ ταῦτα φίλου γεγονότος, εἴ γε σύ τινος φίλος. ὅρα δὴ Γόρδιε, μὴ πεῖραν λάβῃς ἀνδρός, οὐ δοκοῦντος, ἀλλ' ὄντος. ἄσπασαι τὸν υἱὸν Ἀριστοκλείδην. ὃν εὔχομαι μὴ παραπλήσιόν σοι γενέσθαι. καὶ σὺ δ' ἦς νέος ἄμεμπτος.

## Τυανέων τῇ βουλῇ, καὶ τῷ δήμῳ.

Προστάττουσιν ὑμῖν ἐπανιέναι πείθομαι. τοῦτο γὰρ δὴ πρὸς ἅπαντα πολλῷ πρεπωδέστερον εἴη. εἰ ἕνεκα τιμῆς μεταπέμποιτο πολίτην ἑαυτῆς. καὶ ὃν ἀπεδήμησα δὲ χρόνον, ἀποδεδήμηκα, περιποιῶν ὑμῖν, εἰ καὶ ἐπαχθὲς εἰπεῖν, ὧν ἤλφαν τε καὶ ὄνομα, καὶ φιλίαν πόλεων ἐπιφανῶν. ὁμοίως δὲ καὶ ἀνδρῶν. εἰ δὲ καὶ μείζονος ἔτι, καὶ κρείττονος ὑμεῖς ὑπολήψεως ἄξιοι, τό τε ἐμόν, καὶ τὸ παρὰ τῆς ἐμῆς φύσεως, ἐπὶ τοσοῦτον ἐξηρκεσμένον, δυνάμεώς τε καὶ σπουδῆς.

## Διοτίμῳ.

Ἐπλανήθης, οἰηθεὶς δεῖσθαί με τινός, ἢ παρ' αὐτοῦ σοῦ. πρὸς ὃν οὐδὲν ἦν μοι πώποτε κοινόν τι γεγονός, ἢ παρ' ἄλλου τινός, ὁμοίου τε, καὶ ὁμοίως. ἣν δέ, οὐδὲ τὸ ἀναλωθὲν εἴς τι τῶν σοὶ σωτηρίων, πολύ τι χαίρειν δή μοι παθών. οὐδ' ἐξ ἀναλώματος. τηρήσει γάρ μου τὸ ἔθος μόνως οὕτως. ὅτι δὲ τοῦτον ἔχω τὸν τρόπον, καὶ ταύτην τὴν διάθεσιν πρὸς ἅπαντάς μου τοὺς πολίτας. ἐῶ γὰρ λέγειν ὡς καὶ πρὸς πάντας ἀνθρώπους, ἔξεστι μα-

θεῖν

θεῖν παρὰ τῶν ἄλλων πολιτῶν, ἀντιπαθόντων μὲν ὁσάκις ἐδεήθη-
σάν τινος, ἀμοιβὴν δὲ ἀπαιτηθέντων μηδεμίαν, μηδὴ δυσχεράνης.
εἰ δεόμενος ἐπιτιμηθεὶς ὁ ἐμὸς, ὑπὲρ τοῦ προσέσθαι τι τὴν ἀρ-
χὴν, ἀπέδωκεν αὐθὺς, ὃ ἔλαβε λυσιτελοῦν φίλοσιν. φίλος δὲ
καὶ ἐμοῦ. ἐπεὶ μηδένα ἠπίστατο τῶν καταλελειμμένων σου παί-
δων. εἰ δὲ δύο λόγοι περὶ ἐμοῦ λέγονται, λεχθήσονται δὲ καὶ
ἐσύστερον, τί θαυμαστὸν. ἀνάγκη γὰρ περὶ παντὸς ἄκρου δοκοῦν-
τος καθ' ὁτιοῦν, ἐναντίους λέγεσθαι λόγους. οὕτως περὶ πυθαγό-
ρου, περὶ ὀρφέως, περὶ πλάτωνος, περὶ σωκράτους, οὐκ ἐλέ-
χθη μόνον, ἀλλὰ καὶ ἐγράφη τὰ ἐναντία. ὅπου γε τὰ ὅμοια, καὶ
περὶ αὐτοῦ τοῦ θεοῦ. ἀλλ' οἱ μὲν ἀγαθοὶ, δέχονται τὸν ἀληθῆ λό-
γον, ὡς ἂν ἔχοντές τι συγγενές. οἱ δὲ φαῦλοι τὸν ἐναντίον. καὶ ὅσοι
τοῦ τοιούτου γένους καταγελᾶν. λέγω δὲ τοῦ χείρονος, τοσοῦτο μό-
νον δίκαιον ὑπομνῆσαι περὶ ἐματοῦ τὸ νῦν, ὅτι περὶ ἐμοῦ, καὶ
θεοῖς εἴρηται, ὡς περὶ θείου ἀνδρὸς, οὐ μόνον ἰδίᾳ τισὶ πολ-
λάκις, ἀλλὰ καὶ δημοσίᾳ. ἐπαχθὲς λέγειν τί περὶ αὑτοῦ πλεῖον,
ἢ μεῖζον. ὑγιαίνειν δ' εὔχομαι.

Φερουκιανῷ.

Π αρῆν τοῖς πεμφθεῖσιν ὑπὸ σοῦ γράμμασιν ἥσθην. πολ-
λὴν γὰρ οἰκειότητα, καὶ γένους ἀνάμνησιν εἶχεν. καὶ πέ-
πεισμαι, δι' ἐπιθυμίας εἶναί σοι θεάσασθαί με, καὶ ὑπ' ἐμοῦ θεα-
θῆναι. αὐτὸς οὖν ἀφίξομαι πρὸς ὑμᾶς ὅτι τάχιστα. ὅθεν εἴ-
χου τῶν αὐτόθι. συμμίξεις δέ μοι πλησίον γινομένῳ, πρὸ τῶν ἄλ-
λων οἰκείων τε καὶ φίλων. ἐπεὶ καὶ προσήκει σοι τὸ τοιοῦτο.

Εὐφράτῃ.

Ἐ ν γένει δαιμόνων ὁ σοφώτατος πυθαγόρας ἦν. σὺ δ' ἔτι
μοι δοκεῖς πορρωτάτω φιλοσοφίας εἶναι, καὶ ἀληθι-
νῆς ἐπιστήμης. ἢ οὐκ ἂν οὔτε ἐκεῖνον κακῶς ἔλεγες, οὔτε τινὰς τῶν
ζηλούντων αὐτὸν μισῶν διετέλεις. ἀλλ' ὅτι σοι νῦν πρακτέον

ἂν εἴη. φιλοσοφίας γὰρ ἥμαρτες, οὐδ' ἔτυχες μᾶλλον, ἢ μενελάου πάνδαρος ἐν τῇ τῶν ὅρκων συγχύσει.

Τῷ αὐτῷ.

ἐ πιτιμῶσί σοι τινὲς, ὡς εἰληφότι χρήματα παρὰ τοῦ βασιλέως. ὅπερ οὐκ ἄτοπον, εἰ μὴ φαίνοιο φιλοσοφίας εἰληφέναι μισθὸν, καὶ τοσαυτάκις, καὶ ἐπὶ τοσοῦτον, καὶ παρὰ τοῦ πεπιστευκότος εἶναί σε φιλόσοφον.

Τῷ αὐτῷ.

ἐ άν τις αὐτῷ πυθαγορείῳ συγγένηται, τίνα παρ' αὐτοῦ λήψεται. καὶ ὁπόσα; νομοθετικὴν, γεωμετρίαν, ἀστρονομίαν, ἀριθμητικὴν, ἁρμονικὴν, μουσικὴν, ἰατρικὴν, πᾶσαν θείαν μαντικήν. τὰ δὲ καλλίω, μεγαλοφροσύνην, μεγαλοψυχίαν. μεγαλοπρέπειαν. εὐστάθειαν. εὐφημίαν. γνῶσιν θεῶν. οὐ δόξαν. εἴδησιν δαιμόνων οὐ πίστιν. φιλίαν ἑκατέρων. αὐτάρκειαν. ἐκτένειαν. λιτότητα. βραχύτητα τῶν ἀναγκαίων. εὐαισθησίαν. εὐκινησίαν. εὔπνοιαν. εὔχροιαν. ὑγείαν. εὐψυχίαν. ἀθανασίαν. παρὰ σοῦ δὲ τί λαβόντες ἔχουσιν οἱ ἰδόντες. ἢ δηλονότι τὴν ἀρετὴν ἣν ἔχεις.

Κλαύδιος Τυανέων τῇ βουλῇ.

ἀ πολλώνιον τὸν ὑμέτερον πολίτην, πυθαγόρειον φιλόσοφον, καλῶς ἐπιδημήσαντα τῇ ἑλλάδι, καὶ τοὺς νέους ἡμῶν ὠφελήσαντα, τιμήσαντες ἀξίαις τιμαῖς, αἷς πρέπει τοὺς ἀγαθοὺς ἄνδρας, καὶ ἀληθῶς προϊσταμένους φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἠθελήσαμεν δι' ἐπιστολῆς φανερὰν γενέσθαι.

ἀπολλώνιος δικαιοταῖς ῥωμαίων.

λ ιμένων, καὶ οἰκοδομημάτων, καὶ περιβόλων, καὶ τῶν περιπάτων, ἐνίοις ὑμῶν πρόνοια. παίδων δὲ τῶν ἐν ταῖς πόλεσιν ἢ νέων, ἢ γυναικῶν, οὐθ' ὑμῖν, οὔτε τοῖς νόμοις φροντίς. ἦ καλὸν ἂν ἦν τὸ ἄρχεσθαι.

Τῷ ἀδελφῷ ἀπολλωνίῳ.

Φύσιν ἔχει τὸ τελειωθὲν ἕκαστον ἀπεῖναι. καὶ τοῦτο πάντη γῆράς ἐστι. μεθ' ὃ μηκέτι μένει. μὴ δή σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή. μηδὲ ἐπειδὴ θάνατός τι λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε, χεῖρον ὂν τῷ παντί, τοῖς νοῦν ἔχουσι. γίνου δὴ ἀδελφός, τὸ μὲν κοινὸν τοῦτον φιλοσόφου. τὸ δὲ ἐξαίρετον πυθαγορείου, καὶ ἀπολλωνίου. καί σου τὴν οἰκίαν τὴν αὐτὴν κρίνου. εἰ μὲν γὰρ ἐνεκαλοῦμέν τι τῇ προτέρᾳ, κἂν εἰκότως ἐδόκουν μὲν ἀποδειλιᾶν. εἰ δ' ἡμῖν σεμνή τε διετέλεσεν οὖσα καὶ φίλανδρος, καὶ διὰ τοῦτο πάσης τιμῆς ἀξία, τί καὶ διανοηθέντες, οὐκ ἂν ὅμοια καὶ περὶ τῆς μελλούσης προσδοκοίημεν. ἢ εἰκὸς ἂν ἐθελῆσαι καὶ ἀμείνονα γίνεσθαι, μηδαμοῦ τῆς προτέρας ἀμελείας κακωθείσης. δυσωπείτω δέ σε καὶ τὰ τῶν ἀδελφῶν, οὕτω μέχρι νῦν ἔχοντα. ὁ πρεσβύτατος μὲν γὰρ οὐδὲ γάμος οὐδέπω. τῷ νεωτάτῳ δέ, ἐλπὶς μὲν ἔτι παιδοποιίας. ἐν προθεσμῇ δέ γε τοῦ χρόνου. καὶ ἡμεῖς μὲν οἱ τρεῖς γεγόναμεν. τρισὶ δὲ ἡμῖν, οὐδὲ εἷς, ἴσος δὲ καὶ ὁ κίνδυνος τῇ πατρίδι, καὶ τῷ βίῳ τῷ μεθ' ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ πατρός, ἄλλως δὲ καθὸ πατὴρ χείρους, πῶς οὐκ ἂν βελτίους ἐξ ἡμῶν εἰκὸς ἂν ὑπάρξαι. γινέσθωσαν οὖν τινές, οἷς παραθησόμεθα γοῦν ὀνόματα, ὡς ἡμῶν οἱ πρόγονοι συνύφηναν. ὑπὸ δακρύων οὐχ οἷός τε ἐγενόμην, πλείονα γράψαι. καὶ οὐδὲν εἶχον ἀναγκαιότερα τούτων.

Σαρδιανοῖς.

Κροῖσος ἀπέβαλε τὴν λυδῶν ἀρχήν, ἅλυν διαβάς. ἐλήφθη ζῶν. ἐδέθη πέδαις. ἐπὶ πῦρ ἀνεβιβάσθη, τὸ πῦρ εἶδεν ἡμμένον. αἰρόμενον εἰς ὕψος. ἔζησεν. ἔδοξε γὰρ τῷ θεῷ τετιμημένος. τί οὖν ὕστερον οὗτος, ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασι-

λαῖς. ὁ τοσαῦτα παθὼν παρὰ τὴν ἀξίαν. τραπέζης ἐκοινώνησε τῷ πολεμίῳ. σύμβουλος ἦν ἄλλους, ποῖος φίλος ὑμῖν δὲ ἄσπονδα καὶ ἀκήρυκτα καὶ ἀμείλικτα. ἔτι τε ἀνίερα, καὶ ἄθεα. τὰ πρὸς γονεῖς, πῶς τέκνα. τὰ πρὸς φίλους συγγενεῖς, φυλέτας, ἐχθροὶ γεγόνατε, μήτε τὸ μάλλον διαβάντες, μήτε δεξάμενοι τινὰ ἄνθρωπον ἔξωθεν. καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν; ἄδικος ἡ γῆ.

## Συγγραφεῦσι λογίοις.

Φῶς παρουσία πυρός. ἢ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, καὶ ᾧ γίγνεται. καίει γοῦν. φῶς δὲ ταῖς ὄψεσι μόνον, αὐγὴν ἑαυτοῦ παρέχεται, μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πεῖθον. τοίνυν καὶ λόγος, ὁ μὲν ὥσπερ πῦρ, καὶ πάθος. ὁ δέ, ὥσπερ αὐγή, καὶ φῶς ἐστιν. ὃ κρεῖττον ὄν, εἰ μὴ μεῖζον εὐχῆς τορηθησόμενον εἴη μοι.

## Οὐαλερίῳ.

Θάνατος οὐδεὶς οὐδενός, ἢ μόνον ἐμφάσει. καθάπερ οὐδὲ γένεσις οὐδενός, ἢ μόνον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας τραπὲν εἰς φύσιν, ἔδοξε γένεσις. τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν, κατὰ ταὐτὰ θάνατος. οὔτε γιγνομένου κατὰ ἀλήθειαν τινός, οὔτε φθειρομένου ποτέ. μόνον δὲ ἐμφανοῦς ὄντος, ἀοράτου τε ὕστερον. τοῦ μὲν διὰ παχύτητα τῆς ὕλης, τοῦ δὲ διὰ λεπτότητα τῆς οὐσίας. οὔσης μὲν αἰεὶ τῆς αὐτῆς, κινήσει δὲ διαφερούσης, καὶ στάσει. τοῦτο γάρ που τὸ ἴδιον ἀνάγκη, τῆς μεταβολῆς οὐκ ἔξωθεν γινομένης ποθέν. ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος εἰς τὰ μέρη. τῶν μερῶν δέ, εἰς τὸ ὅλον τρεπομένων, ἑνότητι τοῦ παντός. εἰ δὲ ἐρήσεταί τις τί τοῦτό ἐστι τὸ ποτὲ μὲν ὁρατόν, ποτὲ δὲ ἀόρατον, ἢ τοῖς αὐτοῖς γινόμενον, ἢ ἄλλοις, φαίη τις ἄν, ὡς ἔθος ἑκάστου ἐστὶ τῶν ἐνθάδε γενῶν, ὃ πληρωθὲν μὲν ἐφάνη, διὰ τὴν τῆς παχύτητος ἀντιτυπίαν. ἀόρατον δέ ἐστιν εἰ κενωθὲν διὰ λεπτότητα,

τῆς ὕλης βίᾳ περιχυθείσης, ἐκρυείσης τε τοῦ περιέχοντος αὐτὴν αἰωνίου μέρους, γίνεται τοῦ δ' οὐδαμῶς, οὐδὲ φθαρτοῦ. τί δὲ καὶ τὸ τῆς πλάνης ἐπὶ τοσοῦτον ἀνέλεξαν. οἴονται γάρ τινες, ὃ πεπόνθασιν αὐτοὶ, τοῦτο πεποιηκέναι. μὴ εἰδότες, ὡς ὁ γεννηθεὶς διὰ γονέων γεγένηται, οὐχ ὑπὸ γονέων, καθάπερ τὸ διὰ γῆς φυὲν, οὐκ ἐκ γῆς φύεται. πάθος τε οὐδὲν τῶν φαινομένων περὶ ἕκαστον, ἀλλὰ μᾶλλον περὶ ἑνὸς ἑκάστου. τοῦτο δὲ τί ἂν ἄλλο τις εἰπὼν, ἢ τὴν πρώτην οὐσίαν, ὀρθῶς ἂν ὀνομάσειεν. ἣ δὴ μόνη ποιεῖ τε καὶ πάσχει, πᾶσι γινομένη πάντα. διὰ πάντων θεὸς ἀΐδιος. ὀνομάζεται καὶ πρόσωπις ἀφαιρουμένη τὸ ἴδιον. ἀδικουμένη τε, εἰ τοῦτο μὲν ἔλαττον. τό τε δὲ κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γένηται, τόπου μεταβάσει, καὶ οὐχὶ φύσεως. ὡς δὲ ἔχει τὸ ἀληθές, οὐ πενθητέον σοι θανόντα, ἀλλὰ τιμητέον καὶ σεβαστέον. τιμὴ δὲ, ἡ ἀρίστη τε καὶ πρέπουσα, εἰ ἀφεὶς θεῶν τὸν ἐκεῖ γινόμενον, ἀνθρώπων τῶν πεπιστευμένων τὰ νῦν ἄρχοις, ἢ πρότερον ἦρχες, ἀκριβέστερον. εἰ χρόνῳ μὴ λογισμῷ γένοιο βελτίων. εἰ χρόνος καὶ τοὺς κακοὺς λύπης ἔπαυσε. μέγιστον· ἀρχὴ ἱκανὴ, καὶ περὶ μεγίστων· ἄρχων ἄριστος, ὃς ἐὰν αὐτοῦ πρότερον ἄρχῃ. τοῦ δὲ καὶ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γινόμενον. εἰ τάξις ἐστὶ τῶν ὄντων, ἔστι δὲ, καὶ θεὸς ἐπιστατεῖ ταύτης, ὁ δίκαιος, οὐ βουλήσεται τὰ ἀγαθά; πλεονεκτικὸν γὰρ καὶ παρὰ τάξιν τὸ τοιοῦτον. ἡγήσεται δὲ τὰ γινόμενα συμφέρειν. πρόελθε καὶ θεράπευσαι. δίκαιον, καὶ παρηγόρησον τοὺς αἰτίους. τῶν δὲ δακρύων οὕτως ἀποβλέψεις. οὐ τὰ ἴδια τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων προτιμητέον. οἷον δέοι καὶ τὸ τῆς παραμυθίας εἶδος. σὺ ὅλῳ τὸν υἱὸν ἔθνει πεπένθηκας. ἄμειψαι τοὺς μετὰ σοῦ λελυπημένους. ἀμείψῃ δὲ, ἐὰν λυπούμενος παύσῃ τάχιον. ἐὰν μὴ προέλθῃς, φίλους οὐκ ἔχεις. υἱὸν δὲ ἔχεις καὶ νῦν τὸν τεθνηκότα. φήσει τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν, οὐκ ἀπόλλυται. διὰ τοῦτο ὂν, ὅτι ἔσται διὰ παν-

τὸς ἢ ἐκ τοῦ μὴ ὄντος γίνεται. πῶς δ' ἂν γένοιτο μὴ ἀπολλυμένου τοῦ ὄντος. εἶπεν ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τε καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεόν. ἀδικεῖς δὲ τὸν υἱόν. μᾶλλον δὲ κἀκεῖνον ἀσεβεῖς. βούλει δὲ μαθεῖν, οἷόν ἐστι θάνατος; ἄνελέ με πέμψας μετὰ ταύτην τὴν φωνήν. ἣν ἐὰν μὴ μεταμφιέσῃ, παραχρῆμα κρείττονά με σεαυτοῦ πεποίηκας. ἔχεις χρόνον. ἔχεις γυναῖκα ἔμφρονα, φίλανδρον, ὁλόκληρος εἶ. παρὰ σεαυτοῦ λάβε τὸ λεῖπον. ῥωμαῖός τις τῶν παλαιτέρων, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε καὶ κόσμον υἱὸν ἴδιον ἀπέκτεινε. καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχεις πεντακοσίων ῥωμαίων ὁ εὐγενέστατος. ταῦτα σαυτὸν διατίθης. ἐξ ὧν οὐδ' οἰκίας τις εὐσταθῶς ἄρξει. μή τί γε πόλεών τε καὶ ἐθνῶν. ἀπολλώνιος εἰ παρῆν, φαβούλλαν ἂν μὴ πενθεῖν ἔπεισεν.

## Βασιλεὺς βαβυλωνίων γάρμος, νεογούνδῃ ἰνδῶν βασιλεῖ.

Εἰ μὴ περίεργος ἦς. οὐκ ἂν ἦς ἐν τοῖς ἀλλοτρίοις πράγμασι δίκαιος. οὐδ' ἂν ἄρχων ἐν ἰνδοῖς, ἐδίκαζες βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δήμιος. νῦν δὲ πειράσας ἀρχὴν τὴν ἐμὴν, ὑποκοριζόμενος ἐπιστολαῖς, καὶ τοιαύτας ἀρχὰς καθιείς, καὶ πρόσχημα ποιούμενος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. περανεῖς δὲ οὐδέν. οὔτε γὰρ λαθεῖν δύναιο.

## Ἀπολλώνιος εὐφράτῃ.

Ἦν πραξιτέλης χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ὤφθη παρὰ ταῖς θύραις ταῖς ἐμαῖς, ξίφος ἔχων ἐν κορίνθῳ, μετὰ σοῦ γνωρίμου. τίς οὖν ἡ τῆς ἐπιβουλῆς αἰτία. οὐ γάρ πώποτε σὰς βοῦς ἤλασα. ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα, τῆς τε ἐμῆς φιλοσοφίας, καὶ τῆς σῆς.

Λεσβώνακτι.

Ἀνάχαρσις ὁ σκύθης, ἦν σοφός· εἰ δὲ σκύθης, ὅτι καὶ σκύθης.

Λακεδαιμόνιοι Ἀπολλωνίῳ.

Τὰς δεδομένας τιμάς σοι ἀπεστάλκαμεν τόδε αὐτὶ γράφον, σημειωσάμενοι τῇ δημοσίᾳ σφραγῖδι ἵνα ἴδῃς.

Ἀπολλώνιος Ἐφόροις, καὶ Λακεδαιμονίοις.

Ἄνδρας ὑμῶν ἐθεασάμην ὑπήνην μὴ ἔχοντας· τοὺς μηροὺς καὶ τὰ σκέλη, λείους τε καὶ λευκούς· μαλακὰς χλανίδας ἠμφιεσμένους λεπτάς· δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους· ὑποδεδεμένους ὑπόδημα τὸ ἰωνικόν· οὐκ ἐπέγνων οὖν τοὺς λεγομένους πρέσβεις· ἡ δὲ ἐπιστολὴ, Λακεδαιμονίους ἔφασκεν.

Τοῖς αὐτοῖς,

Καλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων, καὶ τῶν νέων ἐσόμενον· ἡ Σόλωνος δὲ πόλις, οὐ καλεῖ με· Λυκοῦργον αἰδεῖσθε.

Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδι,

Ἔθος ὑμῖν ἅπαν ἁγιστείας, ἔθος δὲ βασιλικῆς τιμῆς, ἀλλ' ὑμῶν. ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοί, μεμπτοὶ δὲ σύνοικοι τῆς θεοῦ, νύκτας τε καὶ ἡμέρας, ἢ οὐκ ἂν ὁ κλέπτης τε καὶ λῃστὴς, καὶ ἀνδραποδιστὴς, πᾶς εἴ τις ἄδικος. ἢ ἱερόσυλος ἦν ὁρμώμενος αὐτόθεν, τὸ γὰρ ἀποστεροῦν τῶν, τύχης ἐστίν.

Τοῖς αὐτοῖς,

Ἦλθεν ἐν τῇ ἑλλάδι ἀνὴρ ἕλλην τὴν φύσιν, οὐκ ἀθηναῖος, οὐδὲ μεγαρεὺς γελοῖον ὄνομα, παροικήσων ὑμῶν τῇ θεῷ, δότε μοι τόπον, ἔνθα μὴ καθαρσίων δεήσει μοι, καίπερ ἔνδον ἀεὶ μένοντι,

## Τοῖς αὐτοῖς.

Ἀ νεῖται θύουσι τὸ ἱερὸν, εὐχομένοις, ὑμνοῦσιν. ἱκέταις. ἕλλησι βαρβάροις, ἐλευθέροις, δούλοις. ὑπερφυῶς θεῖος ὁ νόμος. ἐπιγινώσκω τὰ σύμβολα, τὰ διός τε καὶ λητοῦς, ἐὰν μόνα ταῦτα.

## Μιλησίοις.

Σ εισμὸς ὑμῶν τὴν γῆν ἔσεισε. τὸ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπασχον μὲν, ἃ ἔτυχον ἐξ ἀνάγκης. ἐλεοῦντες δὲ, οὐ μισοῦντες ἀλλήλους ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς, καὶ θεοῖς ὅπλα, καὶ πῦρ ἐπηνέγκατε, καὶ θεοῖς τοιούτοις, ὧν καὶ οἱ ἑτέρωθεν δέονται, καὶ μετὰ κινδύνους, τὸν πρὸ κινδύνων. ἀλλὰ τὸν φιλόσοφον ἄνδρα. ἑλλήνων δύο, δημόσια τὸ πάθημα φιλοῦντα. καὶ πολλάκις καὶ προαγορεύσαντα γινομένους τοὺς σεισμοὺς αὐτὸν, ὅτε ἔσεισεν ὁ θεὸς, ποιεῖν ἐλέγετε καθ' ἑκάστην ἡμέραν. ὢ τῆς δημοσίας ἀμαθίας. καὶ πατὴρ ὑμῶν λέγεται θαλῆς.

## Τραλλιανοῖς.

Π ολλοὶ πολλαχόθεν, ἄλλοι κατ' ἄλλας αἰτίας, νεώτεροί τε καὶ πρεσβύτεροι φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἐν ὅσον ἑκάστου σκέπτομαι, καὶ τοὺς τρόπους, ὡς ἂν ἐνὶ μάλιστα συνειδότα τα. τό, τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου δίκαιον ἦθος, ἢ τὸ ἐναντίον, εἰς τήνδε τὴν ἡμετέραν οὐκ ἂν ἔχοιμι προκεῖναι, τραλλιανῶν ὑμῶν, οὐ λυδοὺς, οὐκ ἀχαιοὺς, οὐκ ἴωνας, ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας ἑλλάδος θείους, κρότωνας, ταραντίνους, ἤ τινας ἄλλους τῶν ἐκεῖ λεγομένων εὐδαιμόνων ἰταλιωτῶν, ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία, δίκην ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοῖς οὕτοις ἀνδράσι σύνοικος, καίπερ ὢν μάλιστα ἐπιμελὴς ὑμέτερον; ἄλλοτε ποτ' ἂν εἴποιμι. νῦν δὲ μόνον ὑμᾶς ἐπαινεῖν καιρὸς, ἄνδρας

πετοὺς ἢ γενομένους ὑμῶν, ὡς πολὺ κρείττους τῶν παρ' ἑτέροις, ἀρετῇ, καὶ λόγῳ, καὶ μᾶλλον παρ' οἷς γεγένηνται.

Σαΐταις.

ἀθηναίων ἀπόγονοι ἐστέ, καθάπερ ἐν Τιμαίῳ Πλάτων φησίν. οἱ δέ, τὴν κοινὴν ὑμῶν θεὸν ἐξορίζουσι τῆς ἀττικῆς, νῆιν μὲν τὴν ὑφ' ὑμῶν, ἀθηνᾶν δὲ τὴν ὑπ' αὐτῶν ὀνομαζομένην, οὐ μένοντες ἕλληνες. ὅπως δ' οὐ μένοντες ἐγὼ φράσω. γέρων σοφὸς οὐδεὶς ἀθηναῖος. οὐ γὰρ ἔφυ γυνὴ πᾶσα παντός, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ παρὰ ταῖς πύλαις. ὁ συκοφάντης πρὸ τῶν πυλῶν. ὁ μαστροπὸς, καὶ πρὸ τῶν μακρῶν τειχῶν. ὁ παράσιτος πρὸ τῆς μουνυχίας, καὶ πρὸ τοῦ πειραιῶς. ἡ θεὸς δέ, οὐδὲ σούνιον ἔχει.

Ἴωσιν.

ἕλληνες οἴεσθε δεῖν ὀνομάζεσθαι διὰ τὰ γένη, καὶ τὴν ἔμπροσθεν ἀποικίαν. ἕλλησι δέ, ὥσπερ ἔθη καὶ νόμοι, καὶ γλῶττα, καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα καὶ εἶδος ἀνθρώπων. ἀλλ' ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ' ὑπὸ τῆς νέας ταύτης εὐδαιμονίας ἀπολώλεκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς τάφοις ἐκεῖνοι δέχοιντ' ἄν, ἅτε ἀγνῶτας αὐτοῖς γενομένους. εἴ γε πρότερον ἡρώων ἦν ὀνόματα, καὶ ναυμάχων, καὶ νομοθετῶν. νυνὶ δὲ λουκούλλων τε, καὶ φαυρικίων, καὶ γλαυκανίων τῶν μακαρίων. ἐμοὶ μὲν εἴη μᾶλλον ὄνομα μίνερμος.

Ἑστιαίῳ.

ὁ πατὴρ ἡμῶν ἀπολλώνιος ἦν τρὶς τοῦ μνησιθέου. σὺ δὲ ἅπαξ ἐθέλεις ὀνομάζεσθαι λουκρήτιος, ἢ λούπερκος. τίνος σὺ τούτων ἀπόγονος. αἰσχρὸν, εἰ ὄνομα μὲν ἔχοις τινός, τὸ δὲ εἶδος αὐτοῦ μὴ ἔχοις.

## Τοῦ αὐτοῦ.

Πατρίδος ἐς μὲν προτέρῳ ζῶν δυνάμονι, ἤδη δὲ τὰ τῆς πόλεως πράγματα ἐν νῷ ἐβαλόμην. ὁδεύει μοῖρα πρὸς τέλος ἀνδρῶν. οἳ τὰν πρώταν λελόγχασι τιμάν. ἄρξει δὲ τὸ λοιπὸν παιδεία, καὶ μικρὸν ἐπάνω τούτων μείρακες. ἐνταῦθά που δέος, μὴ σφαλῆ τὰ ὑπὸ νέων κυβερνώμενα. σοὶ δ' οὐδέος, ἐπεὶ βεβιώκαμεν.

## Τοῖς στωϊκοῖς.

Ὥρα καὶ λιμὸς ἦν βάσανος, καίπερ ὄντων τῶν πάλαι συχνῶν χρημάτων. πρῶτον μὲν οὖν ἔφυγε μεγάραδε, σὺν ἑνὶ τῶν λεγομένων ἐραστῶν. ἅμα δὲ καὶ μαστροπῶν. τροφῆς γὰρ ἀμφοτέροις ἔδει, καὶ ἐφοδίων. ἔπειτα ἐκεῖθεν εἰς συρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον εὐφράτης, καὶ εἴ τις ὁμοίως ἐδεῖτο τούτου τε καλοῦ ὥστε ἂν αἱρεῖσθαί τι τῶν ἀτόπων δι' ἄνοιαν.

## Τοῖς ἐν σάρδεσιν.

Ὁ παῖς ἀλυάττεω σῶσαι τὴν ἑαυτοῦ πόλιν ἀδύνατος ἐγένετο, καὶ ἀμήχανος· καίπερ ὢν βασιλεύς τε καὶ κροῖσος. ὑμεῖς δὲ ποίῳ πεποιθότες ἄρα λέοντι, πόλεμον ἄσπονδον ἠράσθε. παῖδες, νέοι, πάντες, ἄνδρες, γέροντες, ἀλλὰ καὶ παρθένοι, καὶ γυναῖκες· ἐριννύων νομίσαι ἄν τις τὴν πόλιν εἶναι, καὶ οὐχὶ δήμητρος· ἡ δὲ θεὰ, φιλάνθρωπος. ὑμῖν δὲ, τίς οὗτος ὁ χόλος.

## Τοῖς αὐτοῖς.

Ἐικὸς εἰς πόλιν ἀρχαίαν τε καὶ μεγάλην, ἐθελῆσαι φιλόσοφον ἀρχαῖον παραγενέσθαι. καὶ παρεγενόμην ἂν αὐτὸς ἑκὼν, κληθῆναι μὴ περιμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν. εἰ ποιήσειν μίαν ὑμῶν τὴν πόλιν ἔμελλον, ἤθει, καὶ φύσει, καὶ νόμῳ, καὶ θεῷ. καὶ τὸ ὅσον ἐπ' ἐμοὶ, πάντως ἂν ἐποίησα. στάσις δὲ ὥς ἔφη τις, πολέμου χαλεπώτερον.

Φοιτηταῖς.

δ ιὰ φιλοσοφίαν εἴρηται τῶν εἰρημένων ἕκαστον, οὐδ' ἀπο-
φράττω. μὴ τὸ Πραξιτέλους ξίφος, ἢ τὸ Λυσίου φάρμα-
κον προφοβεῖσθαί μέ τις δόξῃ. καὶ τοῦτο γάρ ἐστιν ἀποφράττον.

Σιτοκαπήλοις.

ἡ γῆ πάντων μήτηρ. δικαία γάρ. ὑμεῖς δὲ ἄδικοι ὄντες, πε-
ποίησθε αὐτὴν ἑαυτῶν μόνων μητέρα. καὶ εἰ μὴ παύσησθε,
οὐκ ἐάσω ὑμᾶς ἐν αὐτῇ ἑστάναι.

Βασιλεὺς Φραώτης Ἰάρχᾳ διδασκά-
λῳ, καὶ τοῖς περὶ αὐτὸν σοφοῖς,

ἀ πολλώνιος ἀνὴρ σοφώτατος, σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖ-
ται. καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα, πέμπετε οὖν αὐ-
τὸν εἰδότα, ὁπόσα ἴστε. ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑ-
μῖν. καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων, καὶ μέμνηται. ἰδέτω καὶ τὸν
θρόνον, ἐφ' οὗ καθίσαντί μοι, τὴν βασιλείαν ἔδωκας Ἰάρχα πά-
τερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς
ἥττηνται. Ἀπολλώνιος τοῖς αὐτοῖς.

ἀ φικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς ἐδώκατε τὴν θάλασσαν,
ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες, δεδώκατε
καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων, καὶ πρὸς Ἕλ-
ληνας. κοινωνήσω τε ὡς παροῦσι λόγων, εἰ μὴ μάτην ἔπιον τοῦ
Ταντάλου. Τίτῳ βασιλεῖ

μ ὴ βουληθέντι σοι ἐπ' αἰχμῇ κηρύττεσθαι, μηδ' ἐπὶ δηΐων
αἵματι, δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον. ἐπειδὴ ἐ-
φ' οἷς δεῖ στεφανοῦσθαι, γινώσκεις.

Δημητρίῳ Σουνιεῖ.

δ ίδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας
ἤθους. σὺ δέ, ἀληθεῦσαί τέ με πρὸς αὐτὸν δίδου. καὶ γίγνου
αὐτῷ, πλὴν ὀργῆς, πάντα.

Αὐτοκράτωρ οὐεσπεσιανὸς ἀπολλωνίω φιλοσόφω χαίρειν.
εἰ πάντες ἀπολλώνιε, κατὰ ταυτά σοι φιλοσοφεῖν ἤθελον,
σφόδρα ἂν εὐδαιμόνως ἔπραττον, φιλοσοφία τὲ καὶ
πενία. φιλοσοφία μὲν ἀδεκάστως ἔχουσα. πενίᾳ δ' αὐθαιρέτως.
ἔρρωσο.

# ΤΕΛΟΣ.

## ΜΙΘΡΙΔΑΤΗΣ, ΒΑΣΙΛΕΙ ΜΙΘΡΙΔΑΤΗ ΤΩ ΑΝΕΨΙΩ ΧΑΙΡΕΙΝ.

ΤΑΣ Βρούτου ἐθαύμασα πολλάκις ἐπιστολὰς οὐ μόνον δεινότητος καὶ συντομίας χάριν, ἀλλὰ καὶ ὡς ἡγεμονικοῦ φρονήματος ἐχούσας χαρακτῆρα. ἐοίκασι γὰρ οὐδὲν νομίζειν καλὸν, εἰ μὴ μεγαλοψυχίας ἔχοιτο. ἐγὼ δ᾽ ἀπειρίαν τοιούτων φρονῶ λόγων, οὐδ᾽ ἐν τῷ δὲ ἀξιῶ διαμφισβητεῖν. ἀποφαίνοντος δέ σου δυσαπορήτους αὐτὰς ἔχειν, ᾤηθην δεῖν πεῖραν ποιήσασθαι τῆς ἀντιγραφῆς. καὶ πειράσασθαι λόγους, οἵους εἰκὸς τὸν ἕκαστον ἀποκρίνασθαι τῶν ἐπεσταλκότων. τὴν δὲ δυσαίρετος ἡ ἐπιστολὴ, κατ᾽ ἄγνοιαν τῆς τότε περὶ τὰς πόλεις τύχης τε καὶ γνώμης. οὐ μὴν ταύτῃ γε αὐτίκα τῆς ὁρμῆς. ἀλλὰ τὰς μὲν ἐξ ἱστορίας ἀπελεξάμην. τὰ δὲ ταῖς δευτέραις, εἴ τι ταῖς ἐπιστολαῖς ὑποσημαίνεσθαι περὶ τῶν προτέρων συνεὶς, οὐχ ἥκιστα παρέζευξα, καὶ τὸν ἐπινοίας κατὰ λόγον. φύσει δέ πως δυσχερὲς ἀκριβοῦν, τὸ εἰς ἀλλοτρίαν συνδραμεῖν εὐστοχίαν, ὁπότε καὶ ἰδίαν χαλεπὸν ἀναλογίσασθαι. ὁ γοῦν Βροῦτος, μυρίας ὡς εἰκὸς ἄνδρα πολλοῖς ἔθνεσι διαπολεμοῦντα, διαπρεσβευσάμενος ἐπιστολὰς, εἴτε ἰδίας, εἴτε τινὸς τῶν εἰς ταῦτα μισθουμένων, μόνας ἐξέδωκε τὰς εὐφρόνως γραφείσας, διὰ τὸ ἀρκέσαι ταῖς ὀλίγαις μόλις τοῦδε ὀρθῶσιν. ὁπότε οὖν ἐκεῖνος ἠθέλησεν ἑαυτὸν ἐν πᾶσι μιμήσασθαι, πῶς οἷόν τε ἡμᾶς, ἑτέρῳ ἐξομοιωθῆναι, εἰ τηνικαῦτα σφᾶς ὁμοτονῆσαι προθέσει. ἀλλ᾽ ἅπως γλυκὺ πάθος ἐλπὶς, οὐ τῇ ἐπιτυχίᾳ δελεάζουσα μόνον, κολακεύουσα δὲ καὶ τὸ ἀπότευγμα. δίκην οὐδενὸς ἄλλου λείπεσθαι δικαιῶ μάλιστά σοι χαρι-

εἶσθαι. ἐπεὶ κἀκεῖνό γε οὐ λέληθεν, ὅτι ὁ μὲν πολλοῖς ἀνδράσι καὶ δήμοις γράφων, εἰκότως ἐν οἷς ἐξεῖχε τοῦ χαρακτῆρος. ὁ δὲ ὑπὲρ πολλῶν διαλεγόμενος, ἐὰν μὲν ἀλλάσσῃ τὸν τύπον, ἀποπεπλανῆσθαι δόξει τοῦ σκοποῦ. τῇ δὲ αὐτῇ προσέχων ἰδέᾳ, καὶ ἀπίθανος φανήσεται, καὶ αἴολος. ἔτι πρὸς τούτοις ἐνθυμητέον, ὡς ἡγεμόνος μὲν ἴδια οἷον τά τινες τὰ γέμοντα ὑπεροψίας, ὥσπερ ἐλλεῖν τοῖς ὑπηκόοις. ἡ μὲν δὴ αὐθάδης ἀντιγραφή, κατὰ γνῶσιν ὡς ἠλιθίοις φέρει. τὸ δὲ ταπεινόν, οὐκ ἔτ' ἀναλογεῖ πρὸς τὴν ὁμοίαν ἀπόκρισιν. ὅμως δ' οὖν τὰ δυσχερῆ, καίπερ τοσαῦτα ὄντα προσεκλ[illegible]μενος, οὐδὲν ἧττον ὑπέστην τὸ ἔργον. βραχὺ μὲν ἐμαυτῷ γύμνασμα συντάξας. σοὶ δέ, οὐ μέγα κτῆμα. ἀλλὰ τοῖς πολλοῖς τάχα καὶ δυσκαταφρόνητον. φιλεῖ γὰρ τὰ πρὸ τῆς πείρας θαυμαστά, μετὰ τὴν ἐκ τοῦ συντελέσματος γνῶσιν, ῥᾴδια εἶναι παραθεωρεῖσθαι.

Μιθριδάτου συναγωγὴ τῶν βρούτου ἐπιστολῶν.

Βροῦτος περγαμηνοῖς.

ἀ κούω ὑμᾶς δολοβέλλᾳ δεδωκέναι χρήματα. ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με. εἰ δὲ ἄκοντες, ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι.

Περγαμηνοί, βρούτῳ.

χ ρήματα δολοβέλλᾳ μὲν ἔτι ἀποροῦντες, ἐβιάσθημεν παρασχεῖν. οὐδὲ ὑμᾶς δοῦναι θέλοντες ἤτηκας, ὅτε δυσπλήρωτον ἐν ἀπορείᾳ τὸ πρόθυμον.

Βροῦτος περγαμηνοῖς.

τ ὰ χρήματα ἡμῖν, εἰς ὃν ἐπετάξαμεν καιρὸν μὴ πέμψαντες, οὐδὲν ἄλλο, εἰ μὴ τὸ δοκεῖν μετὰ τοῦ βεβιάσθαι ταῦτα παρασχεῖν ὠφέλησθε. ὥστε διχόθεν ὑμᾶς βεβλάφθαι, τε τῷ τὸ τὰ ἀναλώματα κατ' ἴσον ὑπομεῖναι. δώσετε γὰρ το-

σὺν τῷ καίριον, ὥσπερ ἄκοντες. καὶ τό, ἣν εἰκὸς ἄν τι τῶν ὑπουργηθέντων φέρεσθαι χάριν ὑμᾶς ἀφῃρῆσθαι. οὐ γὰρ χρὴ τὴν τῶν προθύμων ὑπηκόων παρρησίαν νέμεσθαι τοὺς οὐκ ἄν, εἰ μὴ μετὰ ἀνάγκης, ταῦθ᾽ ἡμῖν παρασχόντας.

Περγαμηνοὶ Βρούτῳ.

ε ἰ ῥᾴδιος ὁ χρησμὸς ἦν, οὐκ ἂν πεπεισμένα μὲν βραδύτητι διαβαλεῖν τὴν χάριν. τί γὰρ δὴ ὄφελος, τοῖς καὶ ἀρνήσωνται βιασθησομένοις, ἐὰν μετὰ μελλήσεως ἀμφότερα ζημιωθῶσι. καὶ διδόντες τὸ ἀνάλωμα, καὶ τὴν ἀμοιβὴν ἀπολέσαντες. ἀλλ᾽ ἴσθι, ὅτι τὸ μὲν τάχος, πειθουσίας ἔργον ἐστίν. ὁ δὲ χρόνος, σπουδῆς ἐκνικῆσαι βιαζομένης ἀχρείαν. οὐ δὴ δίκαιον τὴν τῶν παρὰ δύναμιν ἐπιταχθέντων κακοπραγίαν, ἔλαττον φέρεσθαι τῶν οὐκ ἄν, εἰ μὴ ὑπὸ ἀπειθείας τυχωσάντων.

Βροῦτος Περγαμηνοῖς.

τ ὰ χρήματα ὑμῶν ἐκόμισαν οἱ πρέσβεις. ὡς μὲν πρὸς ἣν ᾐτιᾶσθε ἀσθένειαν, πλείω. ὡς δὲ πρὸς ἣν ᾐτούμεθα χρείαν, ὀλίγα. φυλάττεσθε οὖν, μὴ καὶ δύνησθε πλεῖον, οὗ πρὸς ποιεῖσθε. καὶ βούλεσθε ἔλαττον, οὗ δύνασθε.

Περγαμηνοὶ, Βρούτῳ.

ε πέμψαμέν σοι χρήματα, εἰ καὶ τῆς σῆς ἐλάττονα χρείας, ἀλλ᾽ οὖν τῆς ἑαυτῶν ὑποσχέσεως πλείονα. παρῃτούμεθα μὲν γάρ, ὡς μικρότερα ἢ βουλόμεθα ἔχοντες. ἐπείσαμεν δέ, ὡς πλεῖον ἢ δυνάμεθα σπουδάσαντες.

Βροῦτος, Περγαμηνοῖς.

δ ολοβέλλας, ἐστὶν ἡμῖν μὲν πολέμιος, ὑμῖν δὲ φίλος. τοῦτο εἰς ἅπαν καὶ καθ᾽ ἡμῶν ὑπουργεῖσθε. τί δὴ τὰ ἂν ἕποιτο, τοῖς τὰ αὐτὰ ἐκείνῳ ἑλομένοις, εἰ μὴ ἁλόντας ἴσα πολεμίοις παθεῖν. οὐδὲ γὰρ μετάνοιαν δοτέον τοῖς οὕτω πρίν, ἢ ἐς τὸ παντελὲς καμεῖν, μετανοοῦσι.

Περγαμηνοὶ, Βρούτῳ.

Τῆς μὲν πάλαι πρὸς Δολοβέλλαν φιλίας, ὑ αἴτιος, ὁ τότε ἡμῖν ἐπιστέλλων. ἀνάγκη γὰρ τὰς ἐκείνου κολακεύειν ἐπιταγάς, πρὶν ἢ σχεῖν, πρὸς ὃν ἀποκλινόμεθα. τὴν δ' εἰς τὸ μέλλον μετάνοιαν, μὴ ἀφαιροῦ, τῶν εἰ καὶ βραδέως, ἀλλ' οὖν ὅταν δύνωνται τὸ ἀγνοηθὲν διορθουμένων.

Βροῦτος, Περγαμηνοῖς.

Ψήφισμα ὑμέτερον, οἱ πρέσβεις ὑμῶν ἀπεκόμισάν μοι ἐν Ἀβδήροις, τῆς ἀπὸ Ἰταλίας στρατιᾶς ἐπισκοπουμένῳ. δεξάμενος δέ, τῆς μὲν βραδυτῆτος ὑμᾶς ἐμεμψάμην. Περγαμηνοῖς γὰρ ταῦτα φρονεῖν ἐκ πολλοῦ ἂν ἐβουλόμην, καὶ ἔδει. ἐπῄνεσα δὲ τῆς εἰς τὰ ἄλλα προθυμίας, καὶ τῆς δωρεᾶς τῶν διακοσίων ταλάντων. δι' ἧς πάλαι ἄκοντες, δοῦναι Δολοβέλλα τὰ πεντήκοντα ἀπεδείξασθε.

Περγαμηνοὶ Βρούτῳ

Καὶ τάχιον ἐφρονοῦμεν, ἃ προσῆκον ἦν. καὶ νῦν οὐ βραδέως, ἀλλ' ἡνίκα δυνατὸν ἐξεγένετο ἡμῖν, τὰ εἰκότα συντελοῦμεν. οἱ γοῦν ἐν περιουσίᾳ μὴ πλεῖον Δολοβέλλα πεντήκοντα δόντες ταλάντων, τετραπλάσιον ἅ σοι, καίπερ ἐνδεόμενοι συνεισφέρομεν, ὅπως μάθῃς, ὅσον ἑκούσιος ὑπουργία πενομένων τῶν ἀβουλήτως ἐν εὐπορίᾳ βιασθέντων ὑπερέχει.

Βροῦτος Ῥοδίοις.

Ξανθίους ἀποστάντας χειρωσάμενοι, ἡβηδὸν ἀπεσφάξαμεν. τήν τε πόλιν κατεπρήσαμεν. Παταρεῦσι δὲ προστεθειμένοις ἡμῖν, τῶν τε φόνων ἄφεσιν ἐδώκαμεν. ἐλευθέρους τε αὐτονόμους αὐτοὺς εἶναι συγχωρήσαντες, εἰς ἐπισκευήν τε τῶν ὑπὸ τοῦ χρόνου καταλελυμένων παρ' αὐτοῖς, πεντήκοντα τάλαντα ἐχαρισάμεθα. ὑμῖν οὖν βουλομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὄψει, εἴτε χρὴ πολεμίους ἡμᾶς, ὥσπερ Ξάνθιοι, εἴτε φί-

λους καὶ αἱρετέα, ὃν πρότερον παραιρεῖς αἱρεῖσθαι.

Ῥόδιοι βρούτῳ.

Οὐκ εἰ σοὶ βαρέως τοῖς ἐλευθερίαν σώσασι Ξανθίων προσηνέχθης ἤδη, καὶ ἡμεῖς τοὺς ἐπὶ δουλείᾳ σε δικασθέντας μιμησόμεθα παραιρεῖς. ἀλλ' ἐκείνων μὲν ἀπευξάμενοι τὴν τύχην, πειρασόμεθα τῆς συγγενείας ἔχεσθαι. τούτους ἐμεμψάμενοι τῆς γνώμης. οὐ ζηλώσομεν τὴν ἀπὸ σοῦ λημμάτων ἐνδοξοτέραν ἡγούμενοι, τὴν μετὰ κινδύνων ἐλευθερίαν, τῆς ἐπὶ τὸ κερδαίνειν αὐτομολίας.

Βροῦτος κώοις.

Ῥόδος μὲν ἤδη δεδούλωται κασσίῳ. πόλις αὐθαδέστερον αἰσθομένη τῆς οἰκείας ἰσχύος μᾶλλον, ἢ βεβαιότερον. Λυκία δὲ ἡμῖν ὑπήκοος πᾶσα. ἡ μὲν πολέμῳ καμοῦσα, ἡ δὲ ἐκ τῆς ἀνάγκης ὠφελημένη τὸ ἀβίαστον. ἑκόντες γὰρ εἵλοντο, ἃ μετὰ τοῦ πολύ, ἔμελλον μὴ βουλόμενοι. καὶ ὑμεῖς οὖν αἱρεῖσθε, ἢ πολέμῳ βιασθέντες δοῦλοι, ἢ ἑκουσίως ἡμᾶς δεξάμενοι φίλοι γενέσθαι

Κῶοι βρούτῳ.

Οὔτε ἡ ῥοδίων ἅλωσις ἐξέπληξεν αὖ ἡμᾶς, μὴ τὰ σὰ φρονοῦντας, οὔτε ἡ λυκίων δυσπραξία μετὰ κολακείας ἔπεισεν. ἐλπὶς γὰρ καὶ φόβος, ἐν φίλοις μὲν ἀξιόπιστον. ἐν δὲ τοῖς ἀλλοτριουμένοις δυσκαταφρόνητον. ἀλλ' ἡμεῖς ἄνωθέν σοι προσχωροῦντες, καθ' ἓν ἀχθόμεθα. εἴτε δόξαιμεν, ἢ ἀπειλῆς, ἢ ὑποσχέσεως γεγονέναι κτῆμα. ἔχε οὖν ἡμᾶς ὑπόδειγμα φιλίας πρὸς ἄλλους μᾶλλον, ἢ ἑτέρων ἐφ' ἡμᾶς προσδέχου.

βροῦτος, κώοις.

Οὐδὲν οὔτε θαλάττης ἄνευ νεῶν. οὔτε ἀγεωργήτου γῆς ὄφελος. πορίσατε οὖν περὶ τὰ σκάφη. ὡς εἰ δ' οὖν δὲ εἴητε ἄποροι, μηδὲν ἠπειρωτῶν πλέον ἐκ θαλάττης ὀνησόμενοι.

Κῷοι Βρούτῳ.

κ αἱ γεωργίαν ἔστιν ὅτε καὶ ναυτιλίαν ἐμποδίζει καιρός. ἀλλ' οὔτε γῆς ἀποστεροῦνται, οὔτε θαλάττης, οἱ φύσει ταῦτα ἔχοντες. οὐ γὰρ ἴσον τῷ μηδόλως κεκτῆσθαι, τὸ καὶ ἐλλείπειν ποτὲ εἰς τὴν χρείαν ἀδιόρθωτον.

Βροῦτος Παταρεῦσιν.

δ αμασίππου Ῥοδίων ναύαρχον, μετὰ τὴν Ῥοδίων ἅλωσιν φυγόντα, μετὰ δυοῖν καταφράκτων, ἐπυθόμην παρ' Ἑρμοδώρου τοῦ Σαμίου ἐμπόρου πεφηνέναι ἐν μεγίστῳ ὑμετέρῳ λιμ[ένι]. κατεχθῆναι μὲν οὖν αὐτὸν ἐκεῖσε, οὐδὲν ἁμάρτημα ὑμέτερον ἡγοῦμαι εἶναι. κατασχεθέντα δέ, εἰ περαιτέρω ποι τῶν ὑμῶν ἀποδρᾶναι ἐάσητε, καὶ ἀδικίας, καὶ ἀνανδρείας ὑμῶν καταγνώσομαι.

Παταρεῖς Βρούτῳ.

ε ἰ θᾶττον ἡμῖν Ἑρμόδωρος ἢ σύ, περὶ τοῦ ναυάρχου προσήγγελεν, οὐκ ἂν ὥσπερ εἰς πολλοὺς ἔλαθε Δαμάσιππος, οὕτω δὴ καὶ ἀπαίρων διέφυγεν. ἀλλὰ μέρος αὐτὸ τῶν Ῥοδίων ἁλώσεως ἐγένετο. νυνὶ δὲ σύγγνωθι τῷ τέλει τῆς ἀγνοίας, ἧς ὑπὸ τίμησιν καὶ τὴν ἀρχὴν δέδωκας. οὔτε γὰρ ἀδικίας ἔργον τὸ λαθόντα καταδέξασθαι, οὔτε ἀσθενείας, τὸ ἐκδιδράσκοντα ἀγνοῆσαι.

Βροῦτος Καυνίοις.

ε ὐνοεῖν μὲν ἡμῖν πρεσβευόμενοι προσποιεῖσθε. τὰ δ' ἔργα εἰς οὐδὲν ὧν ἐχρῆν ἐσπουδακότας ἐλέγχει. ὁρᾶτε οὖν, μὴ καὶ ἡμεῖς τῇ διὰ τῶν ἔργων πεισθέντες δυσμενείᾳ μᾶλλον, ἢ τὴν ἐκ τῶν λόγων ἡδονὴν θηρώμενοι, ὡς ἐχθροῖς ὑμῖν προσενεχθῶμεν.

Καύνιοι Βρούτῳ.

ο ὐδὲν θαυμαστὸν εἰ πρεσβεύοντες ὑπὲρ εὐνοίας ἐν ταῖς ὑπουργίαις, καταδεέστεροι τῆς χρείας ἐλεγχόμεθα. ἐκεῖνο μὲν γὰρ ἐσπουδακότων ἔργον. τοῦτο δὲ ἀσθενούντων. διὸ χρὴ τὴν ἐκ τῆς προθυμίας διάθεσιν μᾶλλον, ἢ τὸ ἐν τοῖς ἔργοις ὑποδεὲς

σκοποῦντα, φίλους νομίζειν, τοὺς δὲ ἃ μὴ δυνάμεθα σπουδάζοντας.

Βροῦτος Λυκίοις.

Ὅσα παρ' ὑμῖν ἤδη μηχανικὰ ὄργανα τειχομαχίας, ἢ ναυμαχίας ἐπὶ καὶ μέγα δὴ πέμψατε Κασσίῳ τῷ συνάρχοντι, πρεσβεύοντι Ῥόδον, θᾶττον ἡμερῶν τριάκοντα, ἀφ' ἧς ἂν ἡμέρας τὴν ἐπιστολὴν ταύτην δέξησθε. ἵνα μὴ τοῖς κατ' ἐκείνων ἡμῖν παρεσκευασμένοις, ἀναγκασθῶμεν χρήσασθαι καθ' ὑμῶν.

Λύκιοι Βρούτῳ.

Ὀξείας ἐπιταγῆς ἀπόκρισις μία, τὸ ῥαδίως ὑπουργῆσαι. διὸ πειρασόμεθα φθάσαι τοῖς ἔργοις, τὴν ἀπὸ σοῦ προθεσμίαν. ἐπεὶ καὶ σὺ ταῖς ἀπειλαῖς τὴν παρ' ἡμῶν ὑπόσχεσιν ἔφθακας. εἰ μέντοι τὰ ὄργανα μὴ ἄχρηστα φανείη διὰ παλαιότητα. ὡς καὶ τὰ Ῥοδίων αἱρήσεις ἐπ' ἄλλους ἄχρηστα.

Λυκίοις, Βροῦτος.

Αἱ μηχαναὶ ὑμῶν μετὰ τὸν πόλεμον ὡς ἡ παροιμία ἐκομίσθησαν. ἀλλ' ὑμᾶς γε ἐπαινοῦμεν, οὐ γὰρ ὑστερήσατε, εἰς ἣν ἐκελεύσαμεν προθεσμίαν. ὁ Κάσσιος δὲ ἔφθασεν.

Λύκιοι Βρούτῳ.

Καὶ σοὶ τάχιον ἐλπίδος νίκαι συμβαίνοι. καὶ ἡμῖν δὲ ῥᾴδιον ἐπιταγῆς ὑπουργεῖν, εἰ μέλλεις τοὺς συμμάχους, ἐξ ὧν αὐταρχῶν ἡ Κάσσιος ἀποδέχεσθαι.

Λυκίοις, Βροῦτος.

Ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον τῆς ἰδίας ἀπονοίας ἐσχήκασι τὴν πατρίδα. Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοί, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι. Λύκιοι, Βρούτῳ.

Ξανθίοις μὲν συναχθόμεθα τῆς συμφορᾶς, ἣν πρόστιμον ἀνοίας ἔχουσι, τὸ μὴ δὲ μετανοῆσαι δύνασθαι. πα-

Παταρεῦσι δὲ συνήσθημεν σωφρόνως, ἅμα καὶ ἀτυχῶς ἑλομένοις. ἃ ἔμελλε συνοίσειν αὐτοῖς. αὐτοὶ δὲ οὐχ οὕτως ἠλιθίως φρονοῦμεν. ὥστε παρ' ἐν φίλοις ἀριθμουμένοις ἀτυχεῖν, τῶν δὲ ἔχθραν κεκολασμένων ἀτυχίαν ἑλέσθαι.

Βροῦτος Λυκίοις.

Ξ ανθίων τοὺς διαφεύγοντας οἱ ὑποδεξάμενοι ὑμῶν, οὐδὲν μετριώτερον πείσονται Ξανθίων. Παταρεῦσι δὲ, καὶ Μυρεῦσι, καὶ Κορυνίοις, καὶ Φασηλίταις, κἂν ἄλλο τι δεῖ ποιεῖν ὑποδεξάμενοι αὐτοὺς ἐθέλωσιν, ἐπιτρέπω. ἵνα τοῦ ὀρθῶς αὐτοὺς βεβουλεῦσθαι, φίλους ἡμᾶς, ἀλλὰ μὴ πολεμίους ἑλόμενοι, ἔργῳ αἰσθῶνται ὁρῶντες Ξανθίους.

Λύκιοι, Βρούτῳ.

alienare adversam fortunam

Ο ὐ δὲ αὐτοὶ Ξανθίους ὑποδέξασθαι διεγνώκαμεν, εἰ κοινωνοὶ τῆς συμφορᾶς μᾶλλον, ἢ ἐπικουφίζειν μέλλομεν αὐτοῖς τὸ ἀτύχημα. ἐοίκασι δὲ κἀκεῖνοι παραλιπόντες τοὺς μηδὲν ὀνήσαντας ἡμᾶς Παταρεῦσι, καὶ Μυρεῦσι, καὶ Φασηλίταις, καὶ Καρυνίοις, ὡς βεβαιοτέροις προσφεύξεσθαι βοηθοῖς. δῆλον γὰρ πεποίηκας ὦ Βροῦτε, οὐ δι' ὀργὴν ἐλαύνων τοὺς φυγάδας ἐκ Λυκίας. ὑπὲρ δὲ χρηστότητος διδάσκων. τίσιν ἤδιον αὐτοὺς χαρίσῃ.

Βροῦτος, Κώοις.

Ο ἱ πεμφθέντες ἐπὶ τὴν παρ' ὑμῶν συμμαχίαν, ἀπήγγειλάν μοι τὰς ναῦς ὑμῶν ἄρτι κατασκευάζεσθαι. εἰ δὲ εἰς τὸν τοῦ πολέμου καιρὸν παρασκευάζεσθε, τί χρήσεσθε ταῖς παρασκευαῖς, οὐκ οἶδα. τί γὰρ πλέον ὄφελος ἰσχύος ἀκαίρου ἧς παντελὴς ἀσθένεια τὸ ἄχρηστον.

Κῶοι πρὸς ταῦτα.

Τ οὺς μὲν ἰδίους ἐπιστάμεθα καιρούς, ὅτι μακρόθεν τῆς χρείας προκινδυνεύεσθαι δεῖ. τοὺς δὲ τῶν συμμάχων, οὐ ῥᾴδιον συνιδεῖν, εἰ μὴ πρὸ πολλοῦ τις καταγγέλλοι. τὴν μέντοι πα-

ρασκευὴν, μὴ νόμιζε ἄχρηστον εἶναι εἰς τὸ παρὸν ἐλλείπῃ· σώζεται γὰρ τοῦτο ἀκεραιοφυὲς εἰς τὰ μέλλοντα.

Βροῦτος, Καυνίοις.

ἀ ι μὲν κατ' ὄψιν ὑπουργίαι τῶν κακῶν, κολακείας, καὶ φόβου τὸ πλέον μεμοίρανται· τὸ δὲ προθύμως εἰς ὃ ἂν ἐπιστέλλωμεν ὑπακούειν, πολλὴν ἐνδείκνυνται βεβαιότητα. καὶ ὑμεῖς οὖν ὑπὲρ ὧν ἐγράψαμεν διασκέψασθε. πότερον ὑπουργίας δι' ἀνάγκην, ἢ πίστεως διάνοιαν ἔχειν δόξαι. πίστις γὰρ αὐτάρκης τῇ βεβαιότητι ἀεὶ φανεῖται, τὸ διηνεκῶς ὑμῶν εἰς τὰς χρείας ἕτοιμον.

Καύνιοι, Βρούτῳ.

π ίστις εὐνοίας, οὐ τὸ συνεχῶς ὑπουργεῖν· τοῦτο γὰρ μόνης ἰσχύος ἔργον, ἀλλὰ τὸ μὴ ὀκνεῖν, ἐν οἷς ἄν τις δυνατὸς ᾖ καιροῖς. ἡμεῖς δ' εἰ ἐμέλλομεν ἐκ τῶν ἐλλειμμάτων τὴν παλαιὰν σπουδὴν ἀπιστεῖσθαι, μάτην ἂν ἡγησάμεθα καὶ τὰ πρότερα μεμοχθηκέναι. οὐδὲ γὰρ εἰκὸς τότε ἡμᾶς πεπλανῆσθαι τὴν πρὸς σὲ φιλίαν· ἣν φόβος μὲν καὶ ἀποῦσαν πάντως ἐκολάκευσεν· κολακεία δὲ, καὶ παροῦσαν διεψεύσατο.

Δαμᾶ Βρούτῳ.

ὁ πλων καὶ χρημάτων χρεία. ἢ πέμπε, ἢ ἀποφαίνου.

Δαμᾶς Βρούτῳ.

ε ὐπορούντων ἔργον, τὸ πέμψαι, πενομένων δὲ, τὸ ἀποφαίνεσθαι.

Βροῦτος, Κυζικηνοῖς.

τ ὰ ἀπὸ Βιθυνίας ὅπλα παραπέμψατε μέχρι Ἑλλησπόντου, ἢ κατὰ γῆν ἐπιθέμενοι, ἢ κατὰ θάλατταν, αἴσθοισθε δ' αὖ αὐτοί, τῇ ῥᾴονος αὐτῶν κομιδῆς. εἰ μέντοι βραδύτερον ἤδει. ἡμῖν ἔλθοι, ὅσ' ἂν εἰ καὶ παραπᾶν φθαρείη, ἢ καὶ ὑπὸ πολεμίοις γένηται, ὑφ' ὑμῶν ἠδικῆσθαι δόξομεν.

Κυζικηνοὶ, Βρούτῳ.

Παραπέμψαι τὰ ὅπλα, καὶ κατὰ γῆν, διὰ τοὺς πολεμίους, καὶ τὴν θάλατταν διὰ τοὺς χειμῶνας, χαλεπόν. μάλιστα σοῦ τὰ ἐναντιώτατα συνάψαντος, τάχος, καὶ ἀσφάλειαν. ὅμως δὲ σπουδῆς οὐδεμιᾶς λειψόμεθα, ἐὰν τὰ ἐκ τῆς τύχης συμβησόμενα, μὴ τοῖς ἀόκνως ὑπηρετήσασι προστεθῇ.

Κυζικηνοῖς, Βροῦτος.

Ἐκομίσθη τὰ ὅπλα, καὶ εἰς ὃν ἐβουλόμεθα καιρόν. τῆς οὖν λειτουργίας ταύτης, ἐν δέοντι γενομένης, ἀντιδίδομεν ὑμῖν τὴν προικόννησον, σὺν ταῖς ἐν αὐτῇ λιθουργίαις.

Κυζικηνοὶ Βρούτῳ.

Οὔτε κέρδους ἐλπίδι ἐσπεύσαμεν ἀποστεῖλαι, οὔτε εἰς τὰ λοιπὰ ὀκνηρῶς ἐμέλλομεν ἕξειν, ἐπαινεθέντες ἀμισθί. ὅμως ἀξιούμενοι δωρεᾶς, ἡδόμεθα τῇ σῇ μαρτυρίᾳ πλέον, ἢ ταῖς προικοννησίων λατομίαις.

Κυζικηνοῖς, Βροῦτος.

Οἱ πρέσβεις ὑμῶν συνέτυχόν μοι ἀπιόντι ἐπὶ τὸν πόλεμον. καὶ παρεῖσθαι τῆς συμμαχίας ἱκέτευον, ἀσθένειαν αἰτιώμενοι, καὶ τὸ ἀπορεῖν τὰ κοινά. δίκαιον μὲν οὖν ἦν, πλησίον ἤδη τῆς χρείας οὕτως ἐπειγούσης, καὶ εἰ πρότερον οὐκ ἔδοτε, καὶ νῦν ἐπιπέμψατε. πλέον γὰρ ἂν ἐτίμα τὴν λειτουργίαν ὑμῶν ὁ καιρός. ἐπεὶ δὲ ἐοίκατε τῇ κακίᾳ τοῦ πολέμου προλαβεῖν ἐλπίδι, τὴν μὲν ἀσθένειαν ὑμῶν, ἣν αἰτιᾶσθε, ἥδομαι. τοὐναντίον γὰρ ἠχθέσθην ἄν, ἀκούων ἰσχύειν ὑμᾶς κακοὺς ὄντας. τοὺς δὲ ἄνδρας ὑμῶν, συμμάχους μὲν οὐκέτι, ὑπουργοὺς δὲ ἄκοντας ἕξω. λέληθε δὲ ὑμᾶς οὐδαμῶς, ὡς δεινὸν τῆς ἐν τῷ πολέμῳ μετασχεῖν νίκης εἰ γένοιτο, τοὺς τὸ ἐφ' ἑαυτοῖς, εἰς πᾶσαν ἡμᾶς ἀσθένειαν προδόντας.

Κυζικηνοὶ, Βρούτῳ.

Τὸ σπουδαῖον ἡμῶν, οὐκ ἐξ ὧν πολλάκις ὑπουργήσα-

μὲν μόνον, ἀλλὰ καὶ ταῖς παρὰ σοῦ δωρεαῖς μαρτυρηθὲν, ἐδόκει πιστεύεσθαι. ἐπειδὲ τοῖς καθ᾽ προαίρεσιν οὐχ ἅπαντες ὁμονοοῦσιν οἱ καιροί, τί δεῖ μέρος ἔχθρας ἀριθμῆσαι, τὴν ποτὲ ἀσθένειαν. πᾶν γὰρ τοὐναντίον, μιᾶς ὑπολειπτέον μεγαλοψυχίας, τὸ πολυωρεῖν τοὺς ὀρθῶς διακονήσαντας. καὶ συγγνώμην ὑπὸ τιμήσει χαρίζεσθαι. σὺ δὲ καὶ προσεφήδεσθαι τῇ ἀδυναμίᾳ ἔφης ἡμῖν. ὥσπερ οὐχὶ σοὶ ἐλλείπειν μέλλοντος, ὅσον ἂν ἡμῖν ἐνδέῃ. τοὺς μὲν οὖν ἄνδρας, εἴτε συμμάχους, εἴτε ὑπουργοὺς θέλεις, οὐδ᾽ οἰόμεθα γὰρ περὶ τοῦ ὀνομάζειν, ἅπαντε. ἡμεῖς δέ, εἰ ἀπεγνώκειμεν σου τὰς εἰς τὸν πόλεμον ἐλπίδας, οὐκ ἂν ἐθεραπεύομεν αὐτὰς ἐπρεσβευόμενοι. νῦν δὲ τὰ βέλτιστα εὐχόμενοι περὶ σοῦ, εὐνοῖα προσδοκῶντες, εἰ καὶ τῶν ἐπινικίων ἀπελαθησόμεθα ὡς ἐχθροί, τῆς γοῦν χαρᾶς μεθέξομεν.

## Σμυρναίοις, Βροῦτος.

Τὸ πρόθυμον τῶν ὑπηκόων διηνεκὲς μὲν ὄν, βεβαιότητα δηλοῖ πρὸς τοὺς ἡγεμόνας. ἐλλεῖπον δέ, καὶ τὸν ὅτε ἑτοίμως ὑπούργει χρόνον, δι᾽ ἀσθένειαν ἐλέγχεται τὴν ἑαυτοῦ μᾶλλον, ἢ γνώμην ὑπουργεῖν. σπουδάσατε οὖν ἐκπληρῶσαι, ὅσα ὑμῖν ἐπέστειλα πρὸς τὸν πόλεμον. ὡς εἰ νῦν κακοὶ φανεῖσθε, μηδὲ ὧν πρόσθεν ἐποιήσατε, μαρτυρίαν ἔτι οἰσόμενοι. οὐ γὰρ χρὴ δοκεῖν ἔχειν τὰ ἴσα, μὴ ὁμοίους ἀεὶ φανέντας.

## Σμυρναῖοι Βρούτῳ.

Εὐχῆς ἔργον, τὸ δύνασθαι διηνεκῶς. καιροῦ δέ, τὸ ἐνίοτε μὴ ἀρκεῖν. τὰς δ᾽ ὑπουργίας, οὐ μόνον αἱ ἀσθένειαι τῶν κελευσθέντων. ἀλλὰ καὶ ἡ συνέχεια τῶν ἐπιταγῶν ἐλλιπεῖς ποιεῖ. ἡμεῖς δ᾽ εἰ καὶ πάλαι διάφορον ἐλειτουργοῦμεν, οὐκ ἂν νῦν ἐτολμῶμεν ἀρνεῖσθαι, ἀλλὰ πᾶν τοὐναντίον ἢ δοκεῖ συμβέβηκε. ἐσπουδά-

σαμεν γὰρ γνώμην ποτέ. ὑποτιμᾶται δὲ νῦν ἡ ἀσθένεια, ὥστε ἄτοπον ἐν τοῖς ἐλλείμμασιν, αἱ ὑπουργίαι διαβληθήσονται μᾶλλον, ἢ ταῖς ὑπουργίαις παρεγκρυβήσεται τὸ ἐλλεῖπον.

Βροῦτος, μυρεῦσιν.

ξ άνθιοι ἁλόντες, ἐλεεῖσθαι ὑφ' ἡμῶν ἱκέτευον. ἦν δὲ οἶμαι χαλεπὸν, τοὺς τῆς ἐλπίδος τοῦ πολέμου κοινωνοῦντας, φάγειν τὰ πάθη. καὶ τὴν ἐκ τῆς νίκης ἡδονὴν θηρωμένους, ἴσην χρῆσθαι τῇ διαμαρτίᾳ πρὸς τὸ ἄλυπον. καὶ τούτους οὖν, ἐπιτηδείους παντελοῦς ἀπωλείας ἐθέμεθα. καὶ τοῖς ἄλλοις ἀποκηρύττομεν, εἰ μὴ ἀθέως ἡμᾶς δέχοιντο, μηδενὶ τὴν ἡμετέραν γνώμην ἐπιεικεστέραν, τῆς ἐκείνων τύχης ἔσεσθαι.

Μυρεῖς, βρούτῳ.

ὁ ὐδὲ ξανθίους μὲν ἔδει σωτηρίας ἀποτυχεῖν, ἧς τάχα ἂν καὶ αὐτοὶ μετέδωκαν τοῖς ἐναντίοις εἰ ἐκράτησαν. ὡς γὰρ ἡ τοῦ νικᾶν ἴση τοὺς πολεμοῦντας ἐλπὶς ἐξαίρει, οὕτω καὶ τὸ τῆς ἥττης πάθος, εἰς κοινὸν ἔλεον ἔρχεται διὰ τὸ ἀνθρώπινον. καὶ πρὸς τοὺς λοιποὺς δὲ παραστατικὴν εὐνοίας ἴσθι τὴν χρηστότητα. ἀπειλὴ μὲν γὰρ, ἔχθραν ποιεῖ, καὶ πρὸς τὰ οἰκεῖα, διὰ τὴν ἐκ τοῦ φόβου ἀπόγνωσιν. ἐλπὶς δὲ καὶ τοὺς διαφόρους εἰς εὔνοιαν πεπιστευμένην προσάγεται.

Βροῦτος μυρεῦσι.

ἡ συμμαχία ὑμῶν ἧκεν, ἤδη νενικηκόσιν ἡμῖν. τοῦ μὲν οὖν μηδόλως, τὸ βράδιον ἀφικέσθαι ἄμεινον. πρὸς μέντοι τὴν τοῦ πολέμου ὑπουργίαν, ὁμοίως ἐστὶν ἄχρηστοι. ἡ γὰρ ἐν πολέμῳ βραδυτὴς, ἴσον ἔχει τῷ μηδόλως γινομένῳ τὸ ἄπρακτον.

Μυρεῖς, βρούτῳ.

σ υνήσθημέν σοι τὸν πόλεμον νικήσαντι θᾶττον, ἢ τὴν παρ' ἡμῶν συμμαχίαν. καίπερ μετὰ σπουδῆς ἐκπεμφθεῖσαν παραγενέσθαι. πρὸς μέντοι τὴν εὔνοιαν οὐδὲ ἡμεῖς ἤλθο-

μὲν. ἄπρακτοι ἤλθομεν. οὐδὲ γὰρ ἴσον τῷ μηδόλως κινηθέντι, τὸ καὶ ὑστερηκότι εἶναι πρὸς τὰ λοιπὰ ἕτοιμον.

Βροῦτος, Μιλησίοις.

Οὔτε χρηματίζων μοι πείθεσθαι πολυγνωστόν, ἐκ πολλοῦ γὰρ ὀφείλει φυλάττεσθαι τὸ ἄπορον. τὸ δὲ ἐν τοσούτῳ πλήθει, μὴ δι' ἄνδρας ὑμᾶς ἔχειν γενναίως ἀγωνιουμένους, παντελῶς ἴστε τύχης ἐνδεεῖς, ἀλλὰ τῆς σωτηρίου γνώμης ἐλεγχόμενοι. εἰ δὲ μήτε εἰς ἀρετὴν ἀσκεῖτε, μήτε ὅσα πρὸς ἰσχὺν παρασκευάζεσθε, ἀδίκως ἴστε πόλις λεγόμενοι.

Μιλήσιοι, Βρούτῳ.

Καὶ χρηματίζων, καὶ στρατιωτῶν ἐνδεῖν αἰσχρὸν, οὐ τοῖς μὴ ἐν ἰδίᾳ καθεστῶσι χρείᾳ. πολὺ δὲ μᾶλλον τοῖς εἰ καὶ οἴκοθεν ἀπεροῖεν. διά γ' οὖν τὸ μὴ ἐπαρκεῖν, ἄλλων προσδεομένοις. ὑμεῖς δὲ, τῆς γνώμης ἕνεκα, καὶ τῆς εἰς τὸ δεῦρο τύχης, δοκοῦμεν πόλις εἶναι. μέχρι τοῦ, εἰ καὶ μὴ ἑτέροις ἐπαρκεῖν, ἀλλ' οὖν μὴ τοῦ πέλας χρήζειν.

Βροῦτος Μιλησίοις.

Εἰ μὲν ἐστὶν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ τῆς κατασκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες ἂν καὶ ἔχοντες μὴ χρῆσθε, τόσῳ μεμπτότεροι μὴ δὲ ἔχοντες.

Μιλήσιοι, Βρούτῳ.

Οὐ τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τούτων δὲ ἄπρακτα. οἱ δὲ, τῷ ποιῆσαι αὐτά, καὶ χρῆσθαι αὐτοῖς δύνανται. οὔτε οὖν εἰ ἄπεστιν ὅπλα ἐνδεῖ τοῖς ποιῆσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει, τοῖς καὶ ἔχουσι, χρῆσθαι μὴ δυναμένοις.

Βροῦτος, Τραλλιανοῖς.

Εἰ μὲν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν Δολοβέλλαν οἴεσθε ἀνεχόμενοι, μηδὲν ἀδικεῖν με, οὐκ ὀρθῶς φρονεῖτε. εἰ δὲ νομίζετε ὧν αὖ τοὺς πολεμίους ἀφελώμεθα, τούτων ὑμῖν ὡς οἰκείων παραχωρήσειν, αὐτίκα πλανᾶσθαί μοι δοκεῖτε. εὕρετε οὖν αὐτὸν τῆς σφετέρας, ἢ ὅλως μηδ᾽ ὑφ᾽ ἡμῶν ἀδικεῖσθαι φάσκετε, ὧν αὖ ἔχειν αὐτοὶ Δολοβέλλαν ἀφελόμενοι, ἀλλὰ μὴ ὑμῖν παραχωρεῖν ἀξιῶμεν.

Τραλλιανοὶ, Βρούτῳ.

Καὶ Δολοβέλλας ἐν τῇ ἡμετέρᾳ στρατοπεδεύει, καὶ πᾶς ὁ μετ᾽ ἐκεῖνον βιαζόμενος. ἴσω μὴ ἔξων αὐτὴν δορύκτητον, οὐ γὰρ εἰ στρατηγῷ Ῥωμαίων σύμμαχοι ὄντες, μὴ ἐξείργομεν τῶν ἑαυτῶν, ἤδη καὶ τοῖς πρὸς ἐκεῖνον διαφερομένοις, ἆθλον αὐτὴν πολέμου κατηπείλαμεν. ἀλλ᾽ ὃς ἂν ἀκόντων ἡμῶν εἰς βιάζηται, δείξομεν ἔργῳ. καὶ Δολοβέλλαν μὴ ἂν ἄλλως, εἰ μὴ ἑκόντων στρατοπεδεύεσθαι.

Βροῦτος, Τραλλιανοῖς.

Καὶ πρόσθεν ὑμῖν ἐπέστειλα, ὅτι ἁμαρτάνετε, Δολοβέλλαν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν περιορῶντες. καὶ τὸ παρὸν ἴστε. εἰ μὲν ὡς οἰκείας αὐτῷ παραχωρεῖτε, οὐδ᾽ ἂν εἰ πρὸς ἡμῶν ἀφαιρεθείητε, ὧν ἐκείνῳ ὡς ἀλλοτρίων ἐξέστητε, ἡμῖν ὡς ἰδίων ἀντιποιούμενοι. εἰ δὲ ὡς φίλῳ ἐν τῇ ἡμετέρᾳ στρατοπεδεύειν δίδοτε, κοινωνεῖν αὐτῷ τῆς τοῦ πολέμου τύχης ἀρξάμενοι, οὐδὲ ἡμῖν ἀκούσιοι πολέμιοι φανεῖσθε.

Τραλλιανοὶ, Βρούτῳ.

Ἐδηλώσαμεν σοι καὶ πρότερον περὶ Δολοβέλλα. καὶ νῦν ἴσθι, ὅτι οὔτε ἐν ἰδίᾳ στρατοπεδεύει γῇ. ἔστι γὰρ ἡμετέρα. οὔτε εἴ τις αὐτὴν ἀφέλοιτο ἄλλος, συγχωρήσομεν ἀκόντων ἔχειν. ὅτι τὰ παρ᾽ ἡμῶν ἐπιβλαπέντα βιάζοιτο. εἰ δὲ δοκοῦμεν τῶν ἐπὶ

τοῦ πολέμου τύχης αὐτοῦ κοινωνεῖν, αἱρετώτερον ἄρχουσι χειρῶν ἀντιπρᾶξαι, ἢ σύμμαχον ἄνδρα ἐξείργοντας ἀκουσίως ῥωμαίοις ἐχθροὺς φανῆναι.

βροῦτος, τοῖς αὐτοῖς.

ἠ γγέλθη μοι μηνόδωρον ὑμέτερον πολίτην, ξένον καὶ φίλον δολοβέλλα τοῦ ἡμετέρου πολεμίου. καὶ πρότερον ὑμᾶς μὴ εἴργειν αὐτὸν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν πόλει. καὶ νῦν ὅπως καὶ αὐτὸν, καὶ τὴν στρατιὰν αὐτοῦ, τῇ πόλει δέξησθε συμβουλεύειν. ἐγὼ δὲ ὡς μὲν οὐδὲν ὀνήσει δολοβέλλαν, εἰ καὶ ταῦτα, καὶ ἔτι πλείω προσαχθείητε τούτων ποιῆσαι ὑπὸ μηνοδώρου, ἢ καὶ εἴ τι ἄλλος πείσειεν, οὐκ ἀγνοῶ. οὐδὲ μὴν, οὔτε μηνόδωρον, ἡ δολοβέλλα φιλία καὶ ξενία. οὐ μὴν, ἀλλ' οὐχ ὅπως κολάσαιμί τινας σκοπῶν. ἐφεδρεύειν οἶμαι τοῖς ἑνὸς ἑκάστου ἁμαρτήμασιν. ἵνα μέντοι μηδὲν κολάσεως ἄξιον ἁμαρτεῖν ἀναγκασθῆτε. καὶ νῦν κελεύω ὑμᾶς μηνόδωρον φυγαδεῦσαι τῆς πατρίδος, τοῦ ἰδίου λυσιτελοῦς ἕνεκα. εἰ δὴ λυσιτελεῖν ἔμελλεν αὐτῷ τὴν πατρίδα πωλοῦντι. δολοβέλλαν δὲ, μήτε τῇ πόλει δεδέχθαι, τῆς τε γῆς ἐξελάσαι. βιαζόμενον δὲ, ὅπλοις ἀμύνεσθαι, ἢ ἀπειθοῦντας, οὐχ ὑπὸ μηνοδώρου, ταῦθ' ὑμᾶς οἴομαι παραχθέντας πεισθῆναι, ἀλλ' αὐτοὺς μηνοδώρῳ ταύτην ἀφορμὴν δοῦναι ἐθέλοντας.

Τραλλιανοὶ, βρούτῳ.

ὁ υ μηνόδωρος ὑποδέξασθαι τῇ πόλει δολοβέλλαν, καὶ τὴν στρατιὰν αὐτοῦ, προηγάγετο ἡμᾶς, ὥσπερ οὐδὲ πάλαι στρατοπεδεύοντα περιορᾶν ἔπεισεν. ἀλλ' οὐδὲ εἰ ταῦτα ἐπέπρακτο, ἡγούμεθα δοκεῖν αὐτοῖ μηνοδώρῳ, τοιαύτης βουλίας ἀφορμὴν παρέχεσθαι. ἧττον γὰρ τὴν πρὸς ῥωμαίους ὁμολογῆσαι μὲν συμμαχίαν, ἢ σὺν τοῖς παρ' ἡμῶν τὴν δολοβέλλα ξενίαν ἐπιβαλεῖς. οἷς εἰ καὶ μηδὲν ὡς λέγεις ὄφελος οἱ

σε δὴ πρὸς ἀλλήλους ὁμόνοια. μέγα γοῦν περιεγένετο αὐτὸ ἐκ τῆς πίστεως ἀσυνείδητον. ὅπλων μέντοι καὶ φυγαδείας, οὐδέν τι τοῖς πράγμασι προσδεῖ. μηνόδωρος γὰρ συναπῄρκει δολοβέλλᾳ. μὰ δί', οὐχ ὡς ἐπιπεράσῃ τὴν πατρίδα κεκωλυμένος, ἀλλὰ τὴν ἀρχὴν οὐδὲν νομίζων ἀδίκημα, τῷ φίλῳ συνίστασθαι τὰ ἐπιτήδεια. οὐδ' ἱκανὸν ὑπολαμβάνεις, ὥσπερ καὶ ἔστι καλόν, τὸ μὴ παραμένειν οὖν ποτὲ ἁμαρτάνοντας ἀμύνειν τινάς, πολλῷ μᾶλλον οἰήθης τι δεῖν μὴ προεξανίστασθαι τῶν διαβολῶν, ἀλλ' ἐπὶ τῷ συμβησομένῳ τὴν κρίσιν τηρεῖν. ἐπειδὴ δ' ἐξῆς, οὐκ ἐφ' οἷς ἂν μέμψῃ τοὺς πέλας, δυσμενῶς διατίθεσθαι. πρὸς οὓς δ' ἂν ἔχθραν ἔχῃς, αἰτίας τούτοις ἐπιφέρειν.

## βροῦτος, τοῖς αὐτοῖς.

Χρήματα ὅσα δολοβέλλας κατέθετο παρὰ μηνοδώρῳ τῷ ἑαυτοῦ ξένῳ, εἴτε τινὰς ἄλλας παρακαταθήκας παρὰ τῶν τέκνων αὐτοῦ κομισάμενοι, τῶν διαδεξαμένων αὐτοῦ τὴν οὐσίαν μετὰ τὴν ἐκείνου φυγήν, ἀναπέμψατε πρός με. εἰ δέ τι μὴ εἶναι φατέ, αὐτοὺς τοὺς ἄνδρας πανοικί, μετὰ τῶν τέκνων, καὶ γυναικῶν. οὐ γὰρ ἂν δίκαιον εἴη τοῖς τῶν ἐμῶν πολεμίων φίλοις, καὶ ξένοις, περαιτέρω τοῦ μηδὲν αὐτοὺς παθεῖν, λυσιτελῆσαι αὐτοῖς τὴν ἡμετέραν ἐπιείκειαν.

## Τραλλιανοὶ βρούτῳ.

Οὔτε δολοβέλλαν ἐν τοῖς διαπανκροτάτοις τοῦ πολέμου καιροῖς, ἀποθησαυρίσαι παρακαταθήκας εἰκός, οὔτε μηνόδωρον ἀπαλλασσόμενον ἐκ τῆς πατρίδος, οἷόν τε καταλιπεῖν οἴκοι, τὰ τῆς ταφῆς ἐφόδια. τὸ μέν τοι τὲ ἀναπέμπειν πρός σε, ἢ τὰ μὴ ὄντα χρήματα, ἢ τοὺς ἀναιτίους ἀνθρώπους, τῇ μὲν, ἀδύνατον. τῇ δέ, ἄδικον. οὐ γὰρ ἄξιον τοῖς ἡμετέροις πολίταις διὰ τοὺς πολεμίους, μέχρι συμφορᾶς ἀλυσιτελῆσαι τὴν παρ' ἡμῶν ἐὰν πειθῶμεν προδοσίαν.

Βροῦτος βιθυνοῖς.

μηδενὶ δοκείτω χαλεπὸν, εἰ πολλὰ εἰσπράττομεν, πολλῶν δεόμενοι· τούτων γὰρ ἡμεῖς ἔργα ἀποδιδόμεν. εἰ δὲ τὸ τῶν εἰσφορῶν πλῆθος βαρύνεσθε, μεμνῆσθαι χρὴ πόσοι πόνοι σὺν τοῖς διδομένοις ὑφ' ὑμῶν ἀναλίσκονται· παντὶ γὰρ δῆλον, ὡς τοῦ παρασκευαζομένου, ὁ ταῖς παρασκευαῖς τοῦ πολέμου χρώμενος, πλεῖον κάμνει· ἄλλως τε καὶ ὑμῶν μὲν τῆς οἰκείας φροντίδος ἑκάστῳ· ἡμῖν δὲ τῆς ἁπάντων προνοεῖν ἀνάγκη.

Βιθυνοὶ, βρούτῳ.

ὀυχ ὅσων δεῖσθαί σοι συμβέβηκεν ἤδη καὶ ἡμῖν τοσούτων εὐπορεῖν περίεστι. γνοίης δ' ἂν δι' ὅσων ἀθροίζεται τὰ παρασκευαζόμενα καμάτων· ἐξ ὧν αὐτὸς ἀναλίσκῃ αὐτὰ κοπιᾶς. καίτοι τὸ μὲν ὑπὲρ ἄλλων συνεισφέρειν μετὰ πόνου, καὶ ἀλυσιτελὲς φαίνεται. τὸ δὲ ταῖς ἑτέρων παρασκευαῖς χρῆσθαι μετ' ὠφελείας, ἐπιρᾴδιον. εἰ δὲ ὑπὲρ πολλῶν φὴς κακοπαθεῖν, καὶ ἀντὶ πλειόνων σιωπητέον· οὐ γὰρ οἷόν τε ἡμᾶς τοὺς περὶ μόνων ἑαυτῶν φροντίζοντας, ταῖς ὑπὲρ ἁπάντων εἰσφοραῖς ἐξαρκεῖν.

Βροῦτος τοῖς αὐτοῖς.

ἀκύλαν τὸν ἐμὸν φίλον ἔπεμψα πρὸς ὑμᾶς, κατασκευάσοντά μοι ναῦς στρογγύλας πεντήκοντα, καὶ μακρὰς διακοσίας. τοσαύτας δὲ πυνθάνομαι καὶ δολοβέλλᾳ ὑμᾶς παρεσχῆσθαι. ὀρθῶς οὖν ποιήσετε, ναύτας καὶ ἐρέτας εἰς ταῦτα τὰ πλοῖα, ἄχρις ἂν ἐμὲ ἀνακομισθῇ, παρασχόντες τῷ ἀκύλᾳ. καὶ σιτηρέσιον τούτοις μηνῶν τεσσάρων. τῶν γὰρ εἰς τὴν ναυπηγίαν δεόντων ξύλων, καὶ τῆς τούτων παρακομιδῆς ἐπὶ θάλασσαν, καὶ τεχνιτῶν, εὖ οἶδα, ὅτι οὐδὲν ἀμελήσετε, μηδὲ δολοβέλλα ἐλλείποντες.

## Βιθυνοὶ, βρούτῳ.

Οὐκ ἔτι δολοβέλλας ἔφθασεν ἁρπάσας, τοῦτο ἤδη καὶ σοὶ λαβεῖν ἄπορον κατέλιπεν. οἱ γοῦν ἐκείνῳ πεντήκοντα καὶ ἑκατὸν ναῦς, ὡς οὐ πλείονας δυνάμενοι παρασχεῖν βιασθέντες, πῶς οἴοιτε ἂν εἴημεν, σοί τε ἴσας ἐξ ἀπόρων ναυπηγῆσαι, καὶ μάλιστα σὺν ἐρέταις καὶ ξύλοις, καὶ ναυπηγοῖς, ἃ καὶ ἅπαξ εἰσενεγκεῖν χαλεπόν. δὶς δὲ, καὶ ἀδύνατον. σιτηρέσιον δὲ, οὐδὲ δολοβέλλας ἡμῖν, ἅτε μὴ δ᾽ εἰκελάσει παρασχεῖν δυνησομένοις, ἐπέστελλε. σὺ γνῶθι οὖν, καὶ σὲ ἀρνουμένοις, κἀκεῖνον ἀρνήσασθαι μὴ δυνηθεῖσιν.

## Βροῦτος τοῖς αὐτοῖς.

Ἔγραψέ μοι ἀκύλας, πολλήν τινα ὑμῖν ῥαθυμίαν ἐγκεῖσθαι, τῆς περὶ τὰ πλοῖα ὑπουργίας. ἐγὼ δὲ ἐκεῖνον σφόδρα ἐμεμψάμην τῆς ἀνεξικακίας, πειθόμενον ἐπιστολαῖς μοι τοῦ καθ᾽ ἡμῶν, ἃς καθ᾽ ἕκαστα πέμπων ὑπανύετο. δεῖν μᾶλλον ἠκέων, κἂν εἰ σὺν ταῖς κατ᾽ αὐτοῦ πρεσβείαις δέοι. οὐ γὰρ οἷόν τε δίχα τούτων ἐκείνας καταρτισθῆναι. ὑμᾶς δὲ ὑπομνήσαιμ᾽ ἂν ἡδέως, καὶ νῦν, καὶ ἔπειτα, τοῦ, μὴ ἄκοντας ἡμῖν, ἀλλ᾽ ἑκόντας, καὶ εἰς ταῦτα, καὶ εἰς τὰ ἄλλα πάντα ὁμοίως συναγωνιεῖσθαι. ἐκ τῶν παρόντων γὰρ, καὶ περὶ ἐκείνων ῥᾴδιον τεκμήρασθαι.

## Βιθυνοὶ, βρούτῳ.

Ἀκύλας ὁ κατήγορος ἡμῶν, τῆς ὀλιγωρίας μᾶλλον, ἢ μάρτυς φαίνεται τῆς ἀσθενείας. εἰ γοῦν ἀμελοῦντας ἀληθῶς ἐγίγνωσκεν, οὐκ ἂν παρὸν βιάσασθαι τὴν ὀλιγωρίαν περὶ αὐτῆς σοι ἐπέστελλεν. ἄλλως τε μὴ ἢ ἡμῶν πρεσβεύεσθαι μελλόντων, κατὰ τοῦ διακονοῦντος πρὸς τὸν πέμψαντα. νυνὶ δὲ ἀκύλας μὲν, συνεῖδε τὸ τῆς χρείας ἀδύνατον. σὺ δὲ δι᾽ ἀπειλῆς λύσειν νομίζων τὸ ἄπορον, ἀδίκως ἅμα καὶ ἀνωφελῶς χα

λεπαίνης. οὔτε γὰρ ἐλπὶς, οὔτε φόβος χορηγίας αἴτιον, ἀλλὰ τὸ δύνασθαι.

Βιθυνοῖς Βροῦτος.

Οἱ ἄκοντες ἡμῖν ὑπηρετοῦντες, οὐχ ἃ μὴ βούλονται παρέχειν κερδαίνουσιν. ἀχάριστον γὰρ ἦν αὐτοῖς τοῦτο τότε. ἀλλὰ τὴν ἐπ' ἐκείνοις χάριν, ἥτις ἂν αὐτοῖς ὠφείλετο ὑφ' ἡμῶν, ἀποβάλλουσι. κατασκευάσαντες οὖν τὰς ναῦς, ὃν τρόπον ἐπεστείλαμεν σὺν τοῖς ἐρέταις, καὶ τὸ ὁ Φιλομήλου σιτηρέσιον, πέμψατε. ἢ ἀναγκασθήσεσθε οὐκ ἐπὶ τούτοις ἄχθεσθαι, ἀλλ' ὧν ἂν ὑπολίπωμεν χάριν ἡμῖν εἰδέναι.

Βιθυνοὶ, Βρούτῳ.

Οἱ βιαζόμενοι τοὺς ὑπουργεῖν μὴ ἰσχύοντας, οὐχ ἃ προστάττουσιν, ὠφελοῦνται. ἡ δὲ γὰρ ἂν ἦν μὴ γενέσθαι χρείας, τὴν εἰκῇ ἀπειλῇ ἀλλὰ τὸ δοκεῖν μὴ ἀγνώμονες εἶναι ζημιοῦνται. ἕξουσι γὰρ τὴν ἀνάγκην πρὸς τὸ ἄπορον. καὶ εἰ μὴ διὰ φιλανθρωπίας τὴν ἔνδειαν συνέγνωσαν. ἡμεῖς μὲν οὖν τάχιον ἂν ἀπορήσαιμεν, ἢ ὑπὲρ ἰσχὺν ἀρνησόμεθα χορηγεῖν ἔχοντες. σὺ δὲ, εἰ πλέον οἴει πορίζειν ἀφ' ἡμῶν διὰ βίας, ἴσθι μηδ' ὧν ἂν παραλίπῃς, ἀλλ' ὧν ἂν χρήσασθαι δυνηθῇς χάριν ἡμῖν παρέξων.

Βροῦτος, τοῖς αὐτοῖς.

Τὰ πλοῖα ἐγὼ πάντα, ὅσων μοι ἔδει ἐν θαλάσσῃ ἔχω, παρασχόντων μοι Μακεδόνων, καὶ Λεσβίων, καὶ Φοινίκων. ὑμεῖς μὲν οὖν, ἐπεὶ παρὰ τοὺς χειμῶνας αἰφνιδίως ἐπιπεσόντας ὑστερήσατε, τετρακόσιά μοι τάλαντα εἰς τὸ στρατιωτικὸν αὐτῶν συγκομίσατε. νομίζω γὰρ εἰς μηδὲν ὑμῖν τοῦτον, αἴτιον τὸν χειμῶνα γεγονέναι. ἐθελησάντων δὲ ὑμῶν, ἐνοχλήσειν.

Βιθυνοὶ Βρούτῳ.

Ὁ μὲν χειμὼν διεκώλυσε τὴν ναυτικὴν ἡμῶν συμμαχίαν. ἡ δὲ ναυτικὴ παρασκευὴ, ἐξανήλωσε τὰ χρήματα, ὥς

τε ἡμᾶς εἶναι μηνοῖ, ἀλλ' οὖν αὐτοῖς γε διαπονηρῶς μεμοχθηκέναι. Τῆς οὖν χρείας ὑπ' ἄλλων πεπληρωμένης, αἰτούμεθα συγγνώμην· βραδύναντες μὲν διὰ τύχην· ἀποροῦντες δὲ διὰ τὸ ἀνάλωμα. οὐ γὰρ δυνατὸν ἡμῖν τὰς ναῦς ποιῆσαι χρήματα, ὡς ἐκεῖνοι χρημάτων ναῦς.

Βροῦτος, τοῖς αὐτοῖς.

α Αἱ βουλαὶ ὑμῶν ὀλίγωροι· αἱ ὑπουργίαι βραδεῖαι. τί τὸ τέλος τούτων ἐννοεῖσθε.

Περγαμηνοί, Βρούτῳ.

β Βουλεύεσθαι μὲν ὀκνηρῶς, ἀσφαλέα· ὑπουργεῖν δὲ βραδέως, ἀσθενέα. τούτων ἀμφοτέρων ἓν τέλος συγγνώμη.

Priuilegio mũlta indicta uetatur, ne quis ad decem annos imprimere posſit nec aliubi imprĩſsa uendere uſquam locorum ditionis inclyti & feliciſsimi. S. Veneti.

Ex aedibus Bartholomaei Iuſtinopolitani, Gabrielis Braſichellenſis, Ioannis Biſsoli, et Benedicti Mangii carpenſium. ·M·IID·xiiii·cal·Iulias·

BIBLIOTHECA NACIONAL DE LISBOA

Inc. 1029